



AL DVS


ORATIO
NES
ALDVS
ALDINI
II
7


AL
DVS
















Ex Libris Joannis Nencini
1874




Ald. 2/1.





# ΠΛΑΤΩΝΟΣ, ΘΟΥΚΥΔΙΔΟΥΣ, ΚΑΙ ΔΗΜΟΣΘΕΝΟΥΣ, ΕΠΙΤΑΦΙΟΙ ΛΟΓΟΙ.

# PLATONIS, THVCYDIDIS, ET DEMOSTHENIS FVNEBRES ORATIONES.







VENETIIS, APVD ALDI FILIOS, M D XLIX.

# ΜΕΝΕΞΕΝΟΣ. Η ΕΠΙΤΑΦΙΟΣ.

## ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ.

## ΣΩΚΡΑΤΗΣ ΚΑΙ ΜΕΝΕΞΕΝΟΣ.

ΣΩ. Ἐξ ἀγορᾶς, ἢ πόθεν μενέξενος. Με. Ἐξ ἀγορᾶς ὦ σώκρατες. καὶ
ἀπὸ τοῦ βουλευτηρίου. Σω. Τί
μάλιστα σοὶ πρὸς βουλευτήριον,
ἢ δῆλα δὴ ὅτι παιδεύσεως καὶ φι-
λοσοφίας ἐπὶ τέλει ἡγῇ εἶναι. καὶ ὡς ἱκανῶς
ἤδη ἔχων, ἐπὶ τὰ μείζω ἐπινοεῖς τρέπεσθαι. καὶ
ἄρχειν ἡμῶν ὦ θαυμάσιε ἐπιχειρεῖς τῶν πρεσβυ-
τέρων τηλικοῦτος ὤν. ἵνα μὴ ἐκλίπῃ ὑμῶν ἡ οἰ-
κία ἀεί τινα ἡμῶν ἐπιμελητὴν παρεχομένη. Με.
Ἐὰν σύ γε ὦ σώκρατες ἐᾷς καὶ συμβουλεύῃς ἄρ-
χειν, προθυμήσομαι. εἰ δὲ μή, οὔ. νῦν μέντοι
ἀφικόμην πρὸς τὸ βουλευτήριον πυθόμενος ὅτι
ἡ βουλὴ μέλλει αἱρεῖσθαι ὅστις ἐρεῖ ἐπὶ τοῖς ἀπο-
θανοῦσι. ταφὰς γὰρ οἶσθ' ὅτι μέλλουσι ποιεῖν;
Σω. Πάνυ γε. ἀλλὰ τίνα εἵλοντο. Με. Οὐδένα.
ἀλλὰ ἀνεβάλοντο εἰς τὴν αὔριον. οἶμαι μέντοι ἀρ-
χῖνον. ἢ δίωνα αἱρεθήσεσθαι. Σω. Καὶ μὴν ὦ
μενέξενε πολλαχοῦ κινδυνεύει καλὸν εἶναι τὸ ἐν
πολέμῳ ἀποθνήσκειν. καὶ γὰρ ταφῆς καλῆς τε
καὶ μεγαλοπρεποῦς τυγχάνει. καὶ ἐὰν πένης
τις ὢν τελευτήσῃ, καὶ ἐπαίνου αὖ ἔτυχε. καὶ ἐὰν
φαῦλος ᾖ, ὑπ' ἀνδρῶν σοφῶν τε καὶ οὐκ εἰκῇ
ἐπαινούντων, ἀλλὰ ἐκ πολλοῦ χρόνου λόγους πα-
ρεσκευασμένων οἳ οὕτω καλῶς ἐπαινοῦσιν, ὥστε

καὶ τὰ προσόντα καὶ τὰ μὴ, περὶ ἑκάστου λέγοντες, κάλλιστά πως τοῖς ὀνόμασι ποικίλλοντες, γοητεύουσιν ἡμῶν τὰς ψυχάς. καὶ τὴν πόλιν ἐγκωμιάζοντες κατὰ πάντας τρόπους. καὶ τοὺς τετελευτηκότας ἐν τῷ πολέμῳ καὶ τοὺς προγόνους ἡμῶν ἅπαντας τοὺς ἔμπροσθεν. καὶ αὐτοὺς ἡμᾶς τοὺς ἔτι ζῶντας ἐπαινοῦντες. ὥστ᾽ ἔγωγε ὦ μενέξενε γενναίως πάνυ διατίθεμαι ἐπαινούμενος ὑπ᾽ αὐτῶν. καὶ ἑκάστοτε ἕστηκα ἀκροώμενος καὶ κηλούμενος. ἡγούμενος ἐν τῷ παραχρῆμα μείζων καὶ γενναιότερος καὶ καλλίων γεγονέναι. καὶ οἷα δὴ τὰ πολλὰ ἀεὶ μετ᾽ ἐμοῦ ξένοι τινὲς ἕπονται καὶ ξυνακροῶνται. πρὸς οὓς ἐγὼ σεμνότερος ἐν τῷ παραχρῆμα γίνομαι. καὶ γὰρ ἐκεῖνοι ταυτὰ ταῦτα δοκοῦσί μοι πάσχειν. καὶ πρὸς ἐμὲ καὶ πρὸς τὴν ἄλλην πόλιν θαυμασιωτέραν αὐτὴν ἡγεῖσθαι εἶναι. ἢ πρότερον ὑπὸ τοῦ λέγοντος ἀναπειθόμενοι. καί μοι αὕτη ἡ σεμνότης παραμένει ἡμέρας πλείω ἢ τρεῖς. οὕτως ἔναυλος ὁ λόγος τε καὶ ὁ φθόγγος παρὰ τοῦ λέγοντος ἐνδύεται εἰς τὰ ὦτα. ὥστε μόγις τετάρτῃ ἢ πέμπτῃ ἡμέρᾳ, ἀναμιμνήσκομαι ἐμαυτοῦ καὶ αἰσθάνομαι οὗ γῆς εἰμι. τέως δὲ οἶμαι μονονοὺκ ἐν μακάρων νήσοις οἰκεῖν. οὕτως ἡμῖν οἱ ῥήτορες δεξιοί εἰσιν. Με. Ἀεὶ σὺ προσπαίζεις ὦ σώκρατες τοὺς ῥήτορας. νῦν μέντοι οἶμαι ἐγὼ τὸν αἱρεθέντα, οὐ πάνυ εὐπορήσειν. ἐξ ὑπογύου γὰρ παντάπασιν ἡ αἵρεσις γέγονεν. ὥστε ἴσως ἀναγκασθήσεται ὁ λέγων ὥσπερ αὐτοσχεδιάζειν. Σω. Πόθεν ὦ ᾽γαθέ. εἰσὶν ἑκάστοις τούτων λόγοι παρεσκευασμένοι. καὶ ἅμα οὐδὲ

αὐτοσχεδιάζειν τά γε τοιαῦτα χαλεπόν. εἰ μὲν γὰρ δέοι ἀθηναίους ἐν πελοποννησίοις εὖ λέγειν ἢ πελοποννησίους ἐν ἀθηναίοις, ἀγαθοῦ ἂν ῥήτορος δέοι τοῦ πείσοντος. καὶ εὐδοκιμήσοντος. ὅταν δέ τις ἐν τούτοις ἀγωνίζηται οὕσπερ καὶ ἐπαινεῖ, οὐδὲν μέγα δοκεῖ εὖ λέγειν. Με. Οὐκ οἴει ὦ σώκρατες. Σω. Οὐ μέντοι μὰ δία. Με. Η οἴει οἷός τ' ἂν εἶναι αὐτὸς εἰπεῖν εἰ δέοι καὶ ἕλοιτό σε ἡ βουλή, Σω. Καὶ ἐμοὶ μέν γε ὦ μενέξενε, οὐδὲν θαυμαστὸν οἵῳ τ' εἶναι εἰπεῖν ᾧ τυγχάνει διδάσκαλος οὖσα, οὐ πάνυ φαύλη περὶ ῥητορικῆς. ἀλλ' ἥπερ καὶ ἄλλους πολλοὺς καὶ ἀγαθοὺς ἐποίησε ῥήτορας, ἕνα δὲ καὶ διαφέροντα τῶν ἑλλήνων περικλέα τὸν ξανθίππου. Με. Τίς αὕτη. ἢ δῆλον ὅτι ἀσπασίαν λέγεις. Σω. Λέγω γάρ. καὶ κόννον γε τὸν μητροβίου. οὗτοι γάρ μοι δύο εἰσὶ διδάσκαλοι. ὁ μὲν, μουσικῆς. ἡ δὲ, ῥητορικῆς. οὕτω μὲν οὖν τρεφόμενον ἄνδρα. οὐδὲν θαυμαστὸν δεινὸν εἶναι λέγειν. ἀλλὰ καὶ ὅστις ἐμοῦ κάκιον ἐπαιδεύθη. μουσικὴν μὲν ὑπὸ λάμπρου παιδευθείς. ῥητορικὴν δὲ ὑπ' ἀντιφῶντος τοῦ ῥαμνουσίου. ὅμως κἂν οὗτος οἷός τ' εἴη ἀθηναίους γε ἐν ἀθηναίοις ἐπαινῶν εὐδοκιμεῖν. Με. Καὶ τί ἂν ἔχοις εἰπεῖν εἰ δέοι σε λέγειν. Σω. Αὐτὸς μὲν παρ' ἐμαυτοῦ ἴσως οὐδέν. ἀσπασίας δὲ καὶ χθὲς ἠκροώμην περαινούσης ἐπιτάφιον λόγον περὶ αὐτῶν τούτων. ἤκουσε γὰρ ἅπερ σὺ λέγεις. ὅτι μέλλοιεν ἀθηναῖοι αἱρεῖσθαι τὸν ἐροῦντα. ἔπειτα τὰ μὲν, ἐκ τοῦ παραχρῆμά μοι διῄει οἷα δέοι λέγειν. τὰ δὲ, πρότερον ἐσκεμμένη. ὅτε μοι δοκεῖ συνετίθει τὸν ἐπιτάφιον λόγον, ὃν περικλῆς

ἔτι περιλείμματα τάττα ἐξ ἐκείνου συγκολλῶσα. Με. Ἦ καὶ μνημονεύσαις ἂν ἃ ἔλεγεν ἡ ἀσπασία; Σω. Εἰ μὴ ἀδικῶ γε. ἐμάνθανόν γέ τοι παρ' αὐτῆς. καὶ ὀλίγου πληγὰς ἔλαβον, ὅτι ἐπελανθανόμην. Με. Τί οὖν οὐ διῆλθες. Σω. Ἀλλ' ὅπως μή μοι χαλεπανεῖ ἡ διδάσκαλος ἂν ἐξενέγκω αὐτῆς τὸν λόγον. Με. Μηδαμῶς ὦ σώκρατες. ἀλλ' εἰπὲ καὶ πάνυ μοι χαριῇ. εἴτε ἀσπασίας βούλει λέγειν. εἴτε ὁτουοῦν. ἀλλὰ μόνον εἰπέ. Σω. Ἀλλ' ἴσως μου καταγελάσῃ. ἄν σοι δόξω πρεσβύτης ὢν ἔτι παίζειν. Με. Οὐδαμῶς ὦ σώκρατες. ἀλλ' εἰπὲ παντὶ τρόπῳ. Σω. Ἀλλὰ μὴν σοί γε δεῖ χαρίζεσθαι. ὥστε καὶ ὀλίγου εἴ με κελεύοις ἀποδύντα ὀρχήσασθαι, χαρισαίμην ἄν. ἐπειδή γε μόνω ἐσμέν. ἀλλ' ἄκουε. ἔλεγε γὰρ ὡς ἐγῷμαι ἀρξαμένη λέγειν ἀπ' αὐτῶν τῶν τεθνεώτων οὑτωσί.

Ἔργῳ μὲν ἡμῖν οἵδ' ἔχουσι τὰ προσήκοντα σφίσιν αὐτοῖς. ὧν τυχόντες πορεύονται τὴν εἱμαρμένην πορείαν προπεμφθέντες, κοινῇ μὲν ὑπὸ τῆς πόλεως, ἰδίᾳ δὲ ὑπὸ τῶν οἰκείων. λόγῳ δὲ δὴ τὸν λειπόμενον κόσμον, ὅ, τε νόμος προστάττει ἀποδοῦναι τοῖς ἀνδράσι καὶ χρή. ἔργων γὰρ εὖ πραχθέντων λόγῳ καλῶς ῥηθέντι μνήμη καὶ κόσμος τοῖς πράξασι γίγνεται παρὰ τῶν ἀκουσάντων. δεῖ δὴ τοιούτου τινὸς λόγου. ὅστις τοὺς μὲν τετελευτηκότας, ἱκανῶς ἐπαινέσεται τοῖς δὲ ζῶσιν εὐμενῶς παραινέσεται. ἐκγόνοις μὲν καὶ ἀδελφοῖς μιμεῖσθαι τὴν τῶνδε ἀρετὴν παρακελευόμενος. πατέρας δὲ καὶ μη-

τέρας, καὶ εἴ τινος τῆς ἄνωθεν ἔτι προγόνων λείπονται, τούτοις δὲ παραμυθούμενος. τίς οὖν ἄν, ἡμῖν τοιοῦτος λόγος φανείη, ἢ πόθεν ἂν ὀρθῶς ἀρξαίμεθα, ἄνδρας ἀγαθοὺς ἐπαινοῦντες. οἳ ζῶντές τε τοὺς ἑαυτῶν εὔφραινον δι' ἀρετήν καὶ τὴν τελευτὴν ἀντὶ τῆς τῶν ζώντων σωτηρίας ἠλλάξαντο. δοκεῖ μοι χρῆναι κατὰ φύσιν ὥσπερ ἀγαθοὶ ἐγένοντο, οὕτω καὶ ἐπαινεῖν αὐτούς. ἀγαθοὶ δὲ ἐγένοντο διὰ τὸ φῦναι ἐξ ἀγαθῶν. τὴν εὐγένειαν οὖν πρῶτον αὐτῶν ἐγκωμιάζωμεν. δεύτερον δὲ τροφήν τε καὶ παιδείαν. ἐπὶ δὲ τούτοις τὴν τῶν ἔργων πρᾶξιν ἐπιδείξωμεν. ὡς καλὴν καὶ ἀξίαν τούτων ἀπεφήναντο. τῆς δ' εὐγενείας πρῶτον ὑπῆρξε τοῖσδε, ἡ τῶν προγόνων γένεσις, οὐκ ἔπηλυς οὖσα. οὐδὲ τοὺς ἐκγόνους τούτους ἀποφηναμένη μετοικοῦντας ἐν τῇ χώρᾳ ἄλλοθεν σφῶν ἡκόντων. ἀλλ' αὐτόχθονας. καὶ τῷ ὄντι ἐν πατρίδι οἰκοῦντας καὶ ζῶντας καὶ τρεφομένους οὐχ ὑπὸ μητρυιᾶς ὡς ἄλλοι. ἀλλ' ὑπὸ μητρὸς τῆς χώρας ἐν ᾗ ᾤκουν. καὶ νῦν κεῖσθαι τελευτήσαντας ἐν οἰκείοις τόποις τῆς τεκούσης καὶ θρεψάσης καὶ ὑποδεξαμένης. δικαιότατον δὴ κοσμῆσαι πρῶτον τὴν μητέρα αὐτήν. οὕτω γὰρ συμβαίνει ἅμα καὶ ἡ τῶνδε εὐγένεια κοσμουμένη. ἔστι δὲ ἀξία ἡ χώρα καὶ ὑπὸ πάντων ἀνθρώπων ἐπαινεῖσθαι οὐ μόνον ὑφ' ἡμῶν, πολλαχῇ μὲν καὶ ἄλλῃ. πρῶτον δὲ καὶ μέγιστον, ὅτι τυγχάνει οὖσα θεοφιλής. μαρτυρεῖ δ' ἡμῶν τῷ λόγῳ ἡ τῶν ἀμφισβητησάντων περὶ αὐτῆς θεῶν ἔρις τε καὶ κρίσις. ἣν δὴ θεοὶ ἐπῄνεσαν, πῶς οὐχ ὑπ' ἀνθρώπων γε συμπάντων δι-

καὶ ἐπαινεῖσθαι. δεύτερος δὲ ἔπαινος δικαίως
ἂν αὐτῆς εἴη. ὅτι ἐν ἐκείνῳ τῷ χρόνῳ ἐν ᾧ ἡ πᾶσα
γῆ ἀνεδίδου καὶ ἔφυ ζῷα παντοδαπὰ θηρία τε καὶ
βοτά, ἐν τούτῳ ἡ ἡμετέρα, θηρίων μὲν ἀγρίων
ἄγονος καὶ καθαρὰ ἐφάνη. ἐξελέξατο δὲ τῶν ζῴων
καὶ ἐγέννησεν ἄνθρωπον. ὃ συνέσει τε ὑπερέχει
τῶν ἄλλων, καὶ δίκην καὶ θεοὺς μόνον νομίζει.
μέγα δὲ τεκμήριον τούτῳ τῷ λόγῳ ὅτι ἥδε ἔτε-
κεν ἡ γῆ τοὺς τῶνδέ τε καὶ ἡμετέρους προγόνους. πᾶν γὰρ
τὸ τεκὸν, τροφὴν ἔχει ἐπιτηδείαν ᾧ ἂν τέκῃ. ᾧ καὶ γυ-
νὴ δήλη τεκοῦσά τε ἀληθῶς καὶ μή. ἀλλ' ὑπο-
βαλλομένη. ἐὰν μὴ ἔχῃ πηγὰς τροφῆς τῷ γεννο-
μένῳ. ὃ δὴ καὶ ἡ ἡμετέρα γῆ τε καὶ μήτηρ, ἱκα-
νὸν τεκμήριον παρέχεται ὡς ἀνθρώπους γεννησα-
μένη. μόνη γὰρ ἐν τῷ τότε καὶ πρώτη τροφὴν ἀν-
θρωπείαν ἤνεγκε τὸν τῶν πυρῶν καὶ κριθῶν καρ-
πόν. ᾧ κάλλιστα καὶ ἄριστα τρέφεται τὸ ἀνθρώ-
πειον γένος. ὡς τῷ ὄντι τοῦτο τὸ ζῷον αὐτὴ γεννη-
σαμένη. μᾶλλον δὲ ὑπὲρ γῆς ἢ γυναικὸς προσή-
κει δέχεσθαι τοιαῦτα τεκμήρια. οὐ γὰρ γῆ γυναῖκα
μεμίμηται κυήσει καὶ γεννήσει. ἀλλὰ γυνὴ γῆν.
τούτου δὲ τοῦ καρποῦ, οὐκ ἐφθόνησεν, ἀλλ' ἔνειμε
καὶ τοῖς ἄλλοις. μετὰ δὲ τοῦτο ἐλαίου γένεσιν πό-
νων ἀρωγὴν ἀνῆκε τοῖς ἐκγόνοις. θρεψαμένη δὲ καὶ
αὐξήσασα πρὸς ἥβην ἄρχοντας καὶ διδασκά-
λους αὐτῶν θεοὺς ἐπηγάγετο. ὧν τὰ μὲν ὀνόμα
τα, πρέπει ἐν τῷ τοιῷδε ἐᾶν. ἴσμεν γὰρ οἳ τὸν
βίον ἡμῶν κατεσκεύασαν πρός τε τὴν καθ' ἡμέ-
ραν δίαιταν τέχνας πρώτους παιδευσάμενοι.
καὶ πρὸς τὴν ὑπὲρ τῆς χώρας φυλακὴν ὅπλων

κτῆσίν τε

κτῆσίν τε καὶ χρῆσιν διδαξάμενοι. γεννηθέντες δὲ
καὶ παιδευθέντες οὕτως οἱ τῶνδε πρόγονοι, ᾤ-
κουν πολιτείαν κατασκευασάμενοι, ἧς ὀρθῶς ἔχει
διὰ βραχέων ἐπιμνησθῆναι. πολιτεία γὰρ τροφὴ ἀν-
θρώπων ἐστὶ, καλὴ μὲν ἀγαθῶν, ἡ δὲ ἐναντία,
κακῶν. ὡς οὖν ἐν καλῇ πολιτείᾳ ἐτράφησαν οἱ
πρόσθεν ἡμῶν, ἀναγκαῖον δηλῶσαι δι' ἣν δὴ κἀκεῖ-
νοι ἀγαθοὶ καὶ οἱ νῦν εἰσιν. ὧν οἵδε τυγχάνουσιν
ὄντες οἱ τετελευτηκότες, ἡ γὰρ αὐτὴ πολιτεία
καὶ τότε ἦν, καὶ νῦν ἀριστοκρατία, ἐν ᾗ νῦν τε πο-
λιτευόμεθα, καὶ τὸν ἀεὶ χρόνον ἐξ ἐκείνου ὡς τα-
πολλά, καλεῖ δὲ ὁ μὲν, αὐτὴν δημοκρατίαν. ὁ
δὲ, ἄλλο ᾧ ἂν χαίρῃ. ἔστι δὲ τῇ ἀληθείᾳ μετ' εὐ-
δοξίας πλήθους ἀριστοκρατία βασιλεῖς μὲν
γὰρ ἀεὶ ἡμῖν εἰσιν. οὗτοι δὲ τοτὲ μὲν ἐκ γένους, τοτὲ
δὲ αἱρετοί. ἐγκρατεῖς δὲ τῆς πόλεως τὰ πολλὰ τὸ
πλῆθος, τὰς δὲ ἀρχὰς δίδωσι καὶ κράτος τοῖς
ἀεὶ δόξασιν ἀρίστοις εἶναι. καὶ οὔτε ἀσθενείᾳ, οὔτε
πενίᾳ, οὔτ' ἀγνωσίᾳ πατέρων ἀπελήλαται οὐ-
δεὶς, οὐδὲ τοῖς ἐναντίοις τετίμηται ὥσπερ ἐν ἄλ-
λαις πόλεσιν. ἀλλὰ εἷς ὅρος ὁ δόξας σοφὸς ἢ
ἀγαθὸς εἶναι κρατεῖ καὶ ἄρχει, αἰτία δὲ ἡμῖν
τῆς πολιτείας ταύτης, ἡ ἐξ ἴσου γένεσις. αἱ μὲν
γὰρ ἄλλαι πόλεις ἐκ παντοδαπῶν κατεσκευασμέ-
ναι ἀνθρώπων εἰσὶ καὶ ἀνωμάλων, ὥστε αὐτῶν
ἀνώμαλοι καὶ αἱ πολιτεῖαι τυραννίδες τε καὶ
ὀλιγαρχίαι. οἰκοῦσιν οὖν ἔνιοι μὲν δούλους. οἱ δὲ,
δεσπότας ἀλλήλους νομίζοντες. ἡμεῖς δὲ καὶ οἱ
ἡμέτεροι μιᾶς μητρὸς πάντες ἀδελφοὶ φύντες,
οὐκ ἀξιοῦμεν δοῦλοι οὐδὲ δεσπόται ἀλλήλων εἶ-

ναι. ἀλλ᾽ ἡ ἰσογονία ἡμᾶς ἡ κατὰ φύσιν, ἰσονομίαν ἀναγκάζει ζητεῖν κατὰ νόμον. καὶ μηδενὶ ἄλλῳ ὑπείκειν ἀλλήλοις, ἢ ἀρετῆς δόξῃ καὶ φρονήσεως. ὅθεν δὴ ἐν πάσῃ ἐλευθερίᾳ τεθραμμένοι, οἱ τῶνδε πατέρες καὶ οἱ ἡμέτεροι, καὶ αὐτοὶ οὗτοι, καὶ καλῶς φύντες, πολλὰ δὴ καὶ καλὰ ἔργα ἀπεφήναντο εἰς πάντας ἀνθρώπους, καὶ ἰδίᾳ καὶ δημοσίᾳ. οἰόμενοι δεῖν ὑπὲρ τῆς ἐλευθερίας, καὶ Ἕλλησιν ὑπὲρ Ἑλλήνων μάχεσθαι, καὶ βαρβάροις ὑπὲρ ἁπάντων τῶν Ἑλλήνων. εὐμόλπου μὲν οὖν καὶ ἀμαζόνων ἐπιστρατευσάντων ἐπὶ τὴν χώραν, καὶ τῶν ἔτι προτέρων ὡς ἠμύναντο, καὶ ὡς ἤμυναν ἀργείοις πρὸς καδμείους, καὶ ἡρακλείδαις πρὸς ἀργείους, ὅ, τε χρόνος βραχὺς ἀξίως διηγήσασθαι, ποιηταί τε αὐτῶν ἤδη καλῶς τὴν ἀρετὴν ἐν μουσικῇ ὑμνήσαντες, εἰς πάντας μεμηνύκασιν. ἐὰν οὖν ἡμεῖς ἐπιχειρῶμεν τὰ αὐτὰ λόγῳ ψιλῷ κοσμεῖν, τάχ᾽ ἂν δεύτεροι φαινοίμεθα, ταῦτα μὲν οὖν διὰ ταῦτα δοκεῖ μοι ἐᾶν, ἐπειδὴ καὶ ἔχει τὴν ἀξίαν. ὧν δὲ οὔτε ποιητής πω δόξαν ἀξίαν ἐπ᾽ ἀξίοις λαβὼν ἔχει, ἔτι τέ ἐστιν ἐν ἀμνηστίᾳ τούτων πέρι μοι δοκεῖ χρῆναι ἐπιμνησθῆναι. ἐπαινοῦντά τε καὶ προμνώμενον τοῖς ἄλλοις, ἐς ᾠδάς τε καὶ τὴν ἄλλην ποίησιν αὐτὰ θεῖναι πρεπόντως τῶν πραξάντων. ἔστι δὲ τούτων ὧν λέγω πρῶτα πέρσας ἡγουμένους τῆς ἀσίας, καὶ δουλουμένους τὴν εὐρώπην ἔσχον οἱ τῆσδε τῆς χώρας ἔκγονοι, γονεῖς δὲ ἡμέτεροι, ὧν καὶ δίκαιον καὶ χρὴ πρῶτον μεμνημένους ἐπαινέσαι αὐτῶν τὴν ἀρετήν. δεῖ δὴ αὐτὴν ἰδεῖν εἰ μέλλει τις κα-

λῶς ἐπαινεῖν ἐν ἐκείνῳ τῷ χρόνῳ γενόμενον λό-
γῳ. ὅτι πᾶσα μὲν ἡ ἀσία ἐδούλευε τρίτῳ ἤδη βα-
σιλεῖ. ὧν ὁ μὲν πρῶτος κῦρος, ἐλευθερώσας πέρ-
σας τοὺς αὐτοῦ πολίτας τῷ αὐτοῦ φρονήματι, ἅμα
καὶ τοὺς δεσπότας μήδους ἐδουλώσατο, καὶ τῆς
ἄλλης ἀσίας μέχρις αἰγύπτου ἦρξεν. ὁ δὲ υἱὸς
αὐτοῦ, αἰγύπτου τε καὶ λιβύης ὅσον οἷόν τε ἦν ἐπι-
βαίνειν. τρίτος δὲ δαρεῖος πεζῇ μὲν μέχρι σκυθῶν
τὴν ἀρχὴν ὡρίσατο. ναυσὶ δὲ, τῆς τε θαλάττης
ἐκράτησε καὶ τῶν νήσων. ὥστε μὴ δὲ ἀξιοῦν ἀντί-
παλον αὐτῷ μηδένα εἶναι. αἱ δὲ γνῶμαι δεδουλω-
μέναι ἁπάντων ἀνθρώπων ἦσαν. οὕτω πολλὰ καὶ
μεγάλα καὶ μάχιμα γένη καταδεδουλωμένη ἦν
ἡ περσῶν ἀρχή. αἰτιασάμενος δὲ δαρεῖος ἡμᾶς
τε καὶ ἐρετριέας σάρδεσιν ἐπιβουλεῦσαι προφα-
σιζόμενος, πέμψας μυριάδας μὲν πεντήκοντα
ἔν τε πλοίοις καὶ ναυσί. ναῦς δὲ τριακοσίας, δᾶ-
τιν δὲ ἄρχοντα, εἶπεν ἥκειν ἄγοντα ἐρετριέας καὶ
ἀθηναίους εἰ βούλοιτο τὴν ἑαυτοῦ κεφαλὴν ἔχειν.
ὁ δὲ, πλεύσας εἰς ἐρέτριαν ἐπ' ἄνδρας οἳ τῶν τό-
τε ἑλλήνων ἐν τοῖς εὐδοκιμώτατοι ἦσαν, τὰ
πρὸς τὸν πόλεμον, καὶ οὐκ ὀλίγοι, τούτους ἐχει-
ρώσατο μὲν ἐν τρισὶν ἡμέραις. διηρευνήσατο δὲ αὐ-
τῶν πᾶσαν τὴν χώραν ἵνα μηδεὶς ἀποφύγοι, τοιού-
τῳ τρόπῳ. ἐπὶ τὰ ὅρια ἐλθόντες τῆς ἐρετρικῆς οἱ
στρατιῶται αὐτοῦ, ἐκ θαλάττης εἰς θάλατταν δια-
στάντες, συνάψαντες τὰς χεῖρας, διῆλθον ἅπα-
σαν τὴν χώραν. ἵν' ἔχοιεν τῷ βασιλεῖ εἰπεῖν, ὅτι
οὐδεὶς σφᾶς ἀποπεφευγὼς εἴη. τῇ δ' αὐτῇ δια-
νοίᾳ κατηγάγοντο ἐξ ἐρετρίας εἰς μαραθῶνα ὡς

ἕτοιμοι μὲν σφίσιν ὂν, καὶ ἀθηναίους ἐν τῇ αὐτῇ ταύτῃ ἀνάγκῃ ζεύξαντας ἐρετριεῦσιν ἄγειν. τούτων δὲ τῶν μὲν πραχθέντων, τῶν δ' ἐπιχειρουμένων, οὔτ' ἐρετριεῦσιν ἐβοήθησεν ἑλλήνων οὐδεὶς, οὔτε ἀθηναίοις, πλὴν λακεδαιμονίων. οὗτοι δὲ τῇ ὑστεραίᾳ τῆς μάχης ἀφίκοντο, οἱ δ' ἄλλοι πάντες ἐκπεπληγμένοι, ἀγαπῶντες τὴν ἐν τῷ παρόντι σωτηρίαν, ἡσυχίαν ἦγον. ἐν τούτῳ δὴ ἄν τις γενόμενος γνοίη οἷοι ἄρα ἐτύγχανον ὄντες τὴν ἀρετὴν οἱ μαραθῶνι δεξάμενοι τὴν τῶν βαρβάρων δύναμιν, καὶ κολασάμενοι τὴν ὑπερηφανίαν. ὅλης τῆς ἀσίας, καὶ πρῶτοι στήσαντες τρόπαια τῶν βαρβάρων. ἡγεμόνες καὶ διδάσκαλοι τοῖς ἄλλοις γενόμενοι, ὅτι οὐκ ἄμαχος εἴη ἡ περσῶν δύναμις, ἀλλὰ πᾶν πλῆθος καὶ πᾶς πλοῦτος ἀρετῇ ὑπείκει. ἐγὼ μὲν οὖν ἐκείνοις τοὺς ἄνδρας φημὶ οὐ μόνον τῶν σωμάτων τῶν ἡμετέρων πατέρας εἶναι, ἀλλὰ καὶ τῆς ἐλευθερίας τῆς τε ἡμετέρας καὶ ξυμπάντων τῶν ἐν τῇ δὲ τῇ ἠπείρῳ. εἰς ἐκεῖνο γὰρ τὸ ἔργον ἀποβλέψαντες, καὶ τὰς ὑστέρας μάχας ἐτόλμησαν διακινδυνεύειν οἱ ἕλληνες ὑπὲρ τῆς σωτηρίας. μαθηταὶ τῶν μαραθῶνι γενόμενοι, τὰ μὲν οὖν ἀριστεῖα τῷ λόγῳ ἐκείνοις ἀναθετέον. τὰ δὲ δευτερεῖα τοῖς περὶ σαλαμῖνα καὶ ὑπ' ἀρτεμισίῳ ναυμαχήσασι καὶ νικήσασι, καὶ γὰρ τούτων τῶν ἀνδρῶν, πολλὰ μὲν ἄν τις ἔχοι διελθεῖν. καὶ οἷα ἐπιόντα ὑπέμειναν. κατά γε γῆν καὶ κατὰ θάλατταν, καὶ ὡς ἠμύναντο ταῦτα, ὃ δέ μοι δοκεῖ καὶ ἐκείνων κάλλιστον εἶν, τούτου μνησθήσομαι. ὅτι τὸ ἑξῆς ἔργον τοῖς μαρα-

θῶνι διεπράξαντο, οἱ μὲν γὰρ μαραθῶνι τοσοῦτον μόνον ἐπέδειξαν τοῖς ἕλλησιν, ὅτι κατὰ γῆν οἷόν τε ἀμύνασθαι τοὺς βαρβάρους ὀλίγοις πολλούς. ναυσὶ δὲ ἔτι ἦν ἄδηλον, καὶ δόξαν εἶχον πέρσαι ἄμαχοι εἶναι κατὰ θάλατταν, καὶ πλήθει καὶ πλούτῳ, καὶ τέχνῃ, καὶ ῥώμῃ. τοῦτο δὴ ἄξιον ἐπαινεῖν τῶν ἀνδρῶν τῶν τότε ναυμαχησάντων, ὅτι τὸν ἐχόμενον φόβον διέλυσαν τῶν ἑλλήνων, καὶ ἔπαυσαν φοβουμένους, πλῆθος νεῶν τε καὶ ἀνδρῶν, ὑπ᾽ ἀμφοτέρων δὴ ξυμβαίνει τῶν τε μαραθῶνι μαχεσαμένων καὶ τῶν ἐν σαλαμῖνι ναυμαχησάντων παιδευθῆναι τοὺς ἄλλους ἕλληνας ὑπὸ μὲν τῶν, κατὰ γῆν ὑπὸ δὲ τῶν, κατὰ θάλατταν μαθόντας καὶ ἐθισθέντας μὴ φοβεῖσθαι τοὺς βαρβάρους. τρίτον δὲ λέγω τὸ ἐν πλαταιαῖς ἔργον, καὶ ἀριθμῷ καὶ ἀρετῇ γενέσθαι τῆς ἑλληνικῆς σωτηρίας, κοινὸν ἤδη τοῦτο λακεδαιμονίων τε καὶ ἀθηναίων, τὸ μὲν οὖν μέγιστον καὶ χαλεπώτατον, οὗτοι πάντες ἤμυναν. καὶ διὰ ταύτην τὴν ἀρετὴν, νῦν τε ὑφ᾽ ἡμῶν ἐγκωμιάζονται, καὶ εἰς τὸν ἔπειτα χρόνον ὑπὸ τῶν ὕστερον, μετὰ δὲ τοῦτο, πολλαὶ μὲν πόλεις τῶν ἑλλήνων ἔτι ἦσαν μετὰ τοῦ βαρβάρου. αὐτὸς δὲ ἠγγέλλετο βασιλεὺς διανοεῖσθαι ὡς ἐπιχειρήσων πάλιν ἐπὶ τοὺς ἕλληνας, δίκαιον δὴ καὶ τούτων ἡμᾶς ἐπιμνησθῆναι, οἳ τοῖς τῶν προτέρων ἔργοις, τέλος τῆς σωτηρίας ἐπέθεσαν. ἀνακαθηράμενοι καὶ ἐξελάσαντες πᾶν τὸ βάρβαρον ἐκ τῆς θαλάττης, ἦσαν δὲ οὗτοι, οἵ τε ἐπ᾽ εὐρυμέδοντι ναυμαχήσαντες, καὶ οἱ εἰς κύπρον στρατεύσαντες, καὶ οἱ εἰς αἴγυπτον πλεύ-

σαντες, καὶ ἄλλος τις ἐπιλαχόσε ὢν χρὴ μεμνῆσθαι καὶ χάριν αὐτοῖς εἰδέναι, ὅτι βασιλέα ἐποίησαν δείσαντα τῇ ἑαυτοῦ σωτηρίᾳ τὸν νοῦν προσέχειν. ἀλλὰ μὴ τῇ τῶν ἑλλήνων ἐπιβουλεύειν φθορᾷ, καὶ οὗτος μὲν δὴ πάσῃ τῇ πόλει διηντλήθη ὁ πόλεμος, ὑπὲρ ἑαυτῶν τε καὶ τῶν ἄλλων ὁμοφώνων πρὸς τοὺς βαρβάρους. εἰρήνης δὲ γενομένης, καὶ τῆς πόλεως τιμωμένης, ἦλθεν ἐπ' αὐτὴν ὃ δὴ φιλεῖ ἐκ τῶν ἀνθρώπων τοῖς εὖ πράττουσι προσπίπτειν, πρῶτον μὲν ζῆλος, ἀπὸ ζήλου δὲ φθόνος. ὃ καὶ τήνδε τὴν πόλιν ἄκουσαν ἐν πολέμῳ τοῖς ἕλλησι κατέστησε, μετὰ δὲ τοῦτο γενομένου πολέμου, συνέβαλον μὲν ἐν τανάγρᾳ ὑπὲρ τῆς βοιωτῶν ἐλευθερίας λακεδαιμονίοις μαχόμενοι, ἀμφισβητησίμου δὲ τῆς μάχης γενομένης, διέκρινε τὸ ὕστερον ἔργον. οἱ μὲν γὰρ ᾤχοντο ἀπιόντες καταλιπόντες βοιωτοὺς, οἷς ἐβοήθουν, οἱ δ' ἡμέτεροι, τρίτῃ ἡμέρᾳ ἐν οἰνοφύτοις νικήσαντες, τοὺς ἀδίκως φεύγοντας δικαίως κατήγαγον. οὗτοι δὴ πρῶτοι μετὰ τὸν περσικὸν πόλεμον, ἕλλησιν ἤδη ὑπὲρ τῆς ἐλευθερίας βοηθοῦντες πρὸς ἕλληνας, ἄνδρες ἀγαθοὶ γενόμενοι, καὶ ἐλευθερώσαντες οἷς ἐβοήθουν ἐν τῷδε τῷ μνήματι τιμηθέντες ὑπὸ τῆς πόλεως πρῶτοι ἐτέθησαν. μετὰ δὲ ταῦτα πολλοῦ πολέμου γενομένου καὶ πάντων τῶν ἑλλήνων ἐπιστρατευσάντων, καὶ τεμόντων τὴν χώραν, καὶ ἀναξίαν χάριν ἐκτινόντων τῇ πόλει, νικήσαντες αὐτοὺς ναυμαχίᾳ οἱ ἡμέτεροι καὶ λαβόντες αὐτῶν τοὺς ἡγεμόνας λακεδαιμονίους ἐν τῇ σφαγίᾳ. ἐξὸν αὐτοῖς διαφθεῖραι,

ἐφείσαντο καὶ ἀπέδοσαν, καὶ εἰρήνην ἐποιήσαντο.
ἡγούμενοι πρὸς μὲν τὸ ὁμόφυλον μέχρι νίκης δεῖν
πολεμεῖν, καὶ μὴ δι' ὀργὴν ἰδίαν πόλεως τὸ κοι-
νὸν τῶν ἑλλήνων διολλύναι. πρὸς δὲ τοὺς βαρβά-
ρους μέχρι διαφθορᾶς, τούτους δὴ ἄξιον ἐπαινέ-
σαι τοὺς ἄνδρας, οἳ τοῦτον τὸν πόλεμον πολεμή-
σαντες, ἐνθάδε κεῖνται, ὅτι ἐπέδειξαν εἴ τις ἄρα
ἠμφισβήτει. ὡς ἐν τῷ προτέρῳ πολέμῳ τῷ
πρὸς τοὺς βαρβάρους, ἄλλοι τινὲς εἶεν ἀμείνους
ἀθηναίων, ὅτι οὐκ ἀληθῆ ἀμφισβητοῖεν. οὗτοι γὰρ
ἐν ταῦτα ἔδειξαν στασιασάσης τῆς ἑλλάδος περι-
γενόμενοι τῷ πολέμῳ, τοὺς προεστῶτας τῶν ἄλ-
λων ἑλλήνων χειρωσάμενοι, μεθ' ὧν τότε τοὺς βαρ
βάρους ἐνίκων κοινῇ, τούτους νικῶντες ἰδίᾳ. τρί-
τος δὲ πόλεμος μετὰ ταύτην τὴν εἰρήνην, ἀνέλ-
πιστός τε καὶ δεινὸς ἐγένετο. ἐν ᾧ πολλοὶ καὶ ἀγα
θοὶ τελευτήσαντες ἐνθάδε κεῖνται. πολλοὶ μὲν
ἀμφὶ σικελίαν πλεῖστα τρόπαια στήσαντες ὑπὲρ
τῆς λεοντίνων ἐλευθερίας οἷς βοηθοῦντες διὰ
τοὺς ὅρκους, ἔπλευσαν εἰς ἐκείνους τοὺς τόπους. διὰ
τὸ μῆκος τοῦ πλοῦ, εἰς ἀπορίαν τῆς πόλεως κατα-
στάσης, καὶ οὐ δυναμένης αὐτοῖς ὑπηρετεῖν, τού-
τῳ ἀπειπόντες ἐδυστύχησαν. ὧν οἱ ἐχθροὶ καὶ
προσπολεμήσαντες πλείω ἔπαινον ἔχουσι σωφρο
σύνης καὶ ἀρετῆς, ἢ τῶν ἄλλων οἱ φίλοι. πολ-
λοὶ δ' ἐν ταῖς ναυμαχίαις ταῖς κατ' ἑλλήσπον-
τον, μιᾷ μὲν ἡμέρᾳ πάσας τὰς τῶν πολεμίων ἑ-
λόντες ναῦς, πολλὰς δὲ καὶ ἄλλας νικήσαντες,
ὃ δ' εἶπον δεινὸν καὶ ἀνέλπιστον τοῦ πολέμου γενέ
σθαι τόδε λέγω τὸ εἰς τοσοῦτον φιλονεικίας ἐλθεῖν

πρὸς τὴν πόλιν τοὺς ἄλλους ἕλληνας. ὥστε τολ-
μῆσαι τῷ ἐχθίστῳ ἐπικηρυκεύσασθαι βασιλεῖ. ὃν
κοινῇ ἐξέβαλον μεθ' ἡμῶν, ἰδίᾳ τοῦτον πάλιν ἐπά-
λιν ἐπάγεσθαι βάρβαρον ἐφ' ἕλληνας. καὶ συ-
ναθροῖσαι ἐπὶ τὴν πόλιν πάντας ἕλληνάς τε καὶ
βαρβάρους, οὗ δὴ καὶ ἐκφανὴς ἐγένετο ἡ τῆς πό-
λεως ῥώμη τε καὶ ἀρετή, οἰομένων γὰρ ἤδη αὐτὴν
καταπεπολεμῆσθαι, καὶ ἀπειλημμένων ἐν μιτυ-
λήνῃ τῶν νεῶν, βοηθήσαντες ἑξήκοντα ναυσίν. αὐ-
τοὶ ἐμβάντες εἰς τὰς ναῦς, καὶ ἄνδρες γενόμενοι
ὁμολογουμένως ἄριστοι, νικήσαντες μὲν τοὺς πο-
λεμίους λυσάμενοι δὲ τοὺς φιλίους, ἀναξίου τύ-
χης τυχόντες, οὐκ ἀναιρεθέντες ἐκ τῆς θαλάτ-
της, κεῖνται ἐνθάδε, ὧν χρὴ ἀεὶ μεμνῆσθαί τε καὶ
ἐπαινεῖν. τῇ μὲν γὰρ ἐκείνων ἀρετῇ ἐνικήσαμεν οὐ
μόνον τὴν τότε ναυμαχίαν, ἀλλὰ καὶ τὸν ἄλλον
πόλεμον. δόξαν γὰρ δι' αὐτοὺς ἡ πόλις ἔσχε, μήπο
τ' ἂν καταπολεμηθῆναι, μηδ' ὑπὸ πάντων ἀν-
θρώπων, καὶ ἀληθῆ ἔδοξε. τῇ δὲ ἡμετέρᾳ αὐτῶν
διαφορᾷ, ἐκρατήθημεν οὐχ ὑπὸ τῶν ἄλλων.
ἀήττητοι γὰρ ἔτι καὶ νῦν ὑπό γε ἐκείνων ἐσμέν. ἡμεῖς
δὲ αὐτοὶ ἡμᾶς αὐτοὺς καὶ ἐνικήσαμεν καὶ ἡττήθη-
μεν. μετὰ δὲ ταῦτα ἡσυχίας γενομένης καὶ εἰρήνης
πρὸς τοὺς ἄλλους, ὁ οἰκεῖος ἡμῖν πόλεμος οὕτως
ἐπολεμήθη, ὥστε εἴπερ εἱμαρμένον εἴη ἀνθρώ-
ποις στασιάσαι, μὴ ἂν ἄλλως εὔξασθαι μηδένα πό-
λιν ἑαυτοῦ νοσῆσαι. ἔκ τε γὰρ τοῦ πειραιέως καὶ τοῦ
ἄστεος ὡς ἀσμένως καὶ οἰκείως ἀλλήλοις συνέμι-
ξαν οἱ πολῖται. καὶ παρ' ἐλπίδα τοῖς ἄλλοις ἕλ-
λησι, τόν τε πρὸς τοὺς ἐν ἐλευσῖνι πόλεμον ὡς

μετρίως

μετρίως ἔθεντο. καὶ τούτων ἁπάντων οὐδὲν ἄλλ' αἴτιον, ἢ τῷ ὄντι ξυγγένεια, φιλίαν βέβαιον καὶ ὁμόφυλον οὐ λόγῳ ἀλλ' ἔργῳ παρεχομένη. χρὴ δὲ καὶ τῶν ἐν τούτῳ τῷ πολέμῳ τελευτησάντων ὑπ' ἀλλήλων μνείαν ἔχειν. καὶ διαλλάττειν αὐτοὺς ᾧ δυνάμεθα, εὐχαῖς καὶ θυσίαις ἐν τοῖς τοιοῖσδε τοῖς κρατοῦσιν αὐτῶν εὐχομένοις. ἐπειδὴ καὶ ἡμεῖς διηλλάγμεθα, οὐ γὰρ κακίᾳ ἀλλήλων ἥψαντο. οὐδ' ἔχθρᾳ. ἀλλὰ δυστυχίᾳ μάρτυρες δὲ ἡμεῖς αὐτοί ἐσμεν τούτων οἱ ζῶντες. οἱ αὐτοὶ γὰρ ὄντες ἐκείνοις γένει, συγγνώμην ἀλλήλοις ἔχομεν, ὧν τ' ἐποιήσαμεν, ὧν τ' ἐπάθομεν, μετὰ δὲ τοῦτο παντελοῦς εἰρήνης ἡμῖν γενομένης, ἡσυχίαν ἦγεν ἡ πόλις, τοῖς μὲν βαρβάροις συγγιγνώσκουσα, ὅτι παθόντες ὑπ' αὐτῆς κακῶς ἱκανῶς, οὐκ ἐνδεῶς ἠμύνοντο. τοῖς δὲ ἕλλησιν ἀγανακτοῦσα μεμνημένη ὡς εὖ παθόντες ὑπ' αὐτῆς, οἵαν χάριν ἀπέδοσαν κοινωσάμενοι τοῖς βαρβάροις. τάς τε ναῦς περιελόμενοι, αἵ ποτ' ἐκείνους ἔσωσαν, καὶ τείχη καθελόντες, ἀνθ' ὧν ἡμεῖς τἀκείνων ἐκωλύσαμεν πεσεῖν διανοουμένη δὲ ἡ πόλις μὴ ἂν ἔτι ἀμῦναι μήτε ἕλλησι πρὸς ἀλλήλων δουλουμένοις. μήτε ὑπὸ βαρβάρων, οὕτω ᾤκει, ἡμῶν οὖν ἐν τοιαύτῃ διανοίᾳ ὄντων. ἡγησάμενοι λακεδαιμόνιοι τοὺς μὲν τῆς ἐλευθερίας ἐπικούρους πεπτωκέναι ἡμᾶς. σφέτερον δὲ ἤδη ἔργον εἶναι καταδουλοῦσθαι τοὺς ἄλλους, ταῦτ' ἔπραττον, καὶ μηκύνειν μὲν τί δεῖ. οὐ γὰρ πάλαι οὐδὲ πολλῶν ἀνθρώπων γεγονότα λέγοιμ' ἂν τὰ μετὰ ταῦτα. αὐτοὶ γὰρ ἴσμεν, ὡς ἐκπεπληγμένοι ἀφίκοντο εἰς

χρείαν τῆς πόλεως, τῶν τε ἑλλήνων οἱ πρῶτοι, ἀργεῖοι, καὶ βοιωτοί, καὶ κορίνθιοι, καὶ τόγε θειότατον πάντων. τὸ, καὶ βασιλέα εἰς τοῦτο ἀπορίας ἀφικέσθαι, ὥστε περιστῆναι αὐτῷ μηδαμόθεν ἄλλοθεν τὴν σωτηρίαν γενέσθαι ἀλλ᾽ ἢ ἐκ ταύτης τῆς πόλεως ἣν προθύμως ἀπώλλυ. καὶ δὴ καὶ εἴ τις βούλοιτο, τῆς πόλεως κατηγορῆσαι δικαίως, τοῦτ᾽ ἂν μόνον λέγων ὀρθῶς ἂν κατηγοροῖ, ὡς ἀεὶ λίαν φιλοικτίρμων ἐστί, καὶ τοῦ ἥττονος θεραπίς, καὶ δὴ καὶ ἐν τῷ τότε χρόνῳ, οὐχ οἷά τε ἐγένετο καρτερῆσαι, οὐδὲ διαφυλάξαι ἃ ἐδέδοκτο αὐτῇ. τὸ μηδενὶ δουλουμένῳ βοηθεῖν τῶν σφᾶς ἀδικησάντων, ἀλλὰ ἐκάμφθη καὶ ἐβοήθησε, καὶ τοὺς μὲν ἕλληνας αὐτὴ βοηθήσασα, ἀπελύσατο δουλείας ὥστ᾽ ἐλευθέρους εἶναι μέχρις οὗ πάλιν αὐτοὶ αὑτοὺς κατεδουλώσαντο, βασιλεῖ δὲ αὐτὴ μὲν οὐκ ἐτόλμησε βοηθῆσαι αἰσχυνομένη τὰ τρόπαια τά τε μαραθῶνι. καὶ σαλαμῖνι καὶ πλαταιαῖς, φυγάδας δὲ καὶ ἐθελοντὰς ἐάσασα μόνον βοηθῆσαι, ὁμολογουμένως ἔσωσε. τειχισαμένη δὲ καὶ ναυπηγησαμένη, ἐκδεξαμένη τὸν πόλεμον, ἐπειδὴ ἠναγκάσθη πολεμεῖν, ὑπὲρ παρίων ἐπολέμει λακεδαιμονίοις. φοβηθεὶς δὲ βασιλεὺς τὴν πόλιν, ἐπειδὴ ἑώρα λακεδαιμονίους τῷ κατὰ θάλατταν πολέμῳ ἀπαγορεύοντας, ἀποστῆναι βουλόμενος ἐξῄτει τοὺς ἕλληνας τοὺς ἐν τῷ ἐν ἠπείρῳ. οὓς πρότερον λακεδαιμόνιοι αὐτῷ ἐξέδοσαν, εἰ μέλλοι συμμαχήσειν ἡμῖν τε καὶ τοῖς ἄλλοις συμμάχοις, ἡγούμενος οὐκ ἐθελήσειν, ἵν᾽ αὐτῷ πρόφασις εἴη τῆς ἀποστάσεως. καὶ

τῶν μὲν ἄλλων συμμάχων ἐξεδόθη, ἤθελον γὰρ αὐτοὺς ἐκδιδόναι, καὶ ξυνέθεντο καὶ ὤμοσαν κορίνθιοι, καὶ ἀργεῖοι, καὶ βοιωτοί, καὶ ἄλλοι σύμμαχοι εἰ μέλλοι χρήματα παρέξειν, ἐκδώσειν τοὺς ἐν τῇ ἠπείρῳ ἕλληνας. μόνοι δὲ ἡμεῖς οὐκ ἐτολμήσαμεν οὔτε ἐκδοῦναι, οὔτε ὀμόσαι, οὕτω δή τοι τό γε τῆς πόλεως γενναῖον καὶ ἐλεύθερον, βέβαιόν τε καὶ ὑγιές ἐστι, καὶ φύσει μισοβάρβαρον, διὰ τὸ εἰλικρινῶς εἶναι ἕλληνας καὶ ἀμιγεῖς βαρβάρων, οὐ γὰρ πέλοπες, οὐδὲ κάδμοι, οὐδὲ αἴγυπτοί τε καὶ δαναοί, οὐδὲ ἄλλοι πολλοί, φύσει μὲν βάρβαροι ὄντες, νόμῳ δὲ ἕλληνες, συνοικοῦσιν ἡμῖν, ἀλλ' αὐτοὶ ἕλληνες οὐ μιξοβάρβαροι οἰκοῦμεν. ὅθεν καθαρὸν τὸ μῖσος ἐντέτηκε τῇ πόλει τῆς ἀλλοτρίας φύσεως, ὅμως δ' οὖν ἐμονώθημεν πάλιν, διὰ τὸ μὴ ἐθέλειν αἰσχρὸν καὶ ἀνόσιον ἔργον ἐργάσασθαι, ἕλληνας βαρβάροις ἐκδόντες. ἐλθόντες δὲ εἰς ταυτὰ ἐξ ὧν καὶ τὸ πρότερον κατεπολεμήθημεν, σὺν θεῷ ἄμεινον ἢ τότε ἐθέμεθα τὸν πόλεμον. καὶ γὰρ ναῦς καὶ τείχη ἔχοντες, καὶ τὰς ἡμετέρας αὐτῶν ἀποικίας, ἀπηλλάγημεν τοῦ πολέμου, οὕτως ἀγαπητῶς ἀπηλλάττοντο καὶ οἱ πολέμιοι. ἀνδρῶν μέντοι ἀγαθῶν καὶ ἐν τούτῳ τῷ πολέμῳ ἐστερήθημεν. τῶν τε ἐν κορίνθῳ χρησαμένων δυσχωρίᾳ, καὶ ἐν λεχαίῳ, προδοσίᾳ. ἀγαθοὶ δὲ καὶ οἱ βασιλέα ἐλευθερώσαντες, καὶ ἐκβαλόντες ἐκ τῆς θαλάττης λακεδαιμονίους. ὧν ἐγὼ μὲν ὑμᾶς ἀναμιμνήσκω. ὑμᾶς δὲ πρέπει ξυνεπαινεῖν τε καὶ κοσμεῖν τοιούτους ἄνδρας. καὶ τὰ μὲν δὴ ἔργα ταῦτα τῶν ἀνδρῶν τ

τῶν ἐνθάδε κειμένων. καὶ τῶν ἄλλων ὅσοι ὑπὲρ
τῆς πόλεως τετελευτήκασι, πολλὰ μὲν τὰ εἰρη-
μένα καὶ καλὰ πολὺ δ' ἔτι πλείω καὶ καλλίω τὰ
ὑπολειπόμενα, πολλαὶ γὰρ ἂν ἡμέραι καὶ νύκ-
τες οὐχ ἱκαναὶ γένοιντο τῷ τὰ πάντα μέλλοντι
περαίνειν. τούτων οὖν χρὴ μεμνημένους, τοῖς τού-
των ἐκγόνοις πάντ' ἄνδρα παρακελεύεσθαι ὥσπερ
ἐν πολέμῳ μὴ λείπειν τὴν τάξιν τὴν τῶν προγό-
νων, μὴ δ' εἰς τοὐπίσω ἀναχωρεῖν, εἴκοντας κάκῃ.
Ἐγὼ μὲν οὖν καὶ αὐτὸς ὦ παῖδες ἀνδρῶν ἀγα-
θῶν, νῦν τε παρακελεύομαι καὶ ἐν τῷ λοιπῷ χρό-
νῳ, ὅπου ἄν τῳ ἐντυγχάνω ὑμῶν καὶ ἀναμνήσω
καὶ διακελεύσομαι προθυμεῖσθαι εἶναι ὡς ἀρί-
στους, ἐν δὲ τῷ παρόντι δίκαιός εἰμι εἰπεῖν ἃ οἱ
πατέρες ἡμῖν ἐπέσκηπτον ἀπαγγέλλειν τοῖς λει-
πομένοις εἴ τι πάσχοιεν, ἡνίκα κινδυνεύειν ἔμελ-
λον, φράσω δὲ ὑμῖν ἅ τε αὐτῶν ἤκουσα ἐκείνων,
καὶ οἷα νῦν ἡδέως ἂν εἴποιεν ὑμῖν, λαβόντες δύ-
ναμιν, τεκμαιρόμενος ἐξ ὧν τότε ἔλεγον, ἀλλὰ
νομίζειν χρὴ αὐτῶν ἀκούειν ἐκείνων ἃ ἂν ἀπαγγέλ-
λω, ἔλεγον δὲ τάδε. Ω παῖδες ὅτι μὲν ἐστε πα-
τέρων ἀγαθῶν αὐτὸ μηνύει τὸ νῦν παρὸν, ἡμῖν
δὲ ἐξὸν ζῆν μὴ καλῶς, καλῶς αἱρούμεθα μᾶλ-
λον τελευτᾶν πρὶν ἡμᾶς τε καὶ τοὺς ἔπειτα εἰς ὀνεί-
δη καταστῆσαι καὶ πρὶν τοὺς ἡμετέρους πατέρας,
καὶ πᾶν τὸ πρόσθεν γένος, αἰσχῦναι, ἡγούμενοι
τῷ τοὺς αὐτοῦ αἰσχύνοντι ἀβίωτον εἶναι, καὶ τῷ τοι-
ούτῳ οὔτε τινὰ ἀνθρώπων, οὔτε θεῶν φίλον
εἶναι, οὔτ' ἐπὶ γῆς οὔθ' ὑπὸ γῆς τελευτήσαντι.
χρὴ οὖν μεμνημένους τῶν ἡμετέρων λόγων,

ἐάν τι καὶ ἄλλο ἀσκῆτε, ἀσκεῖν μετ' ἀρετῆς, εἰδότας ὅτι τούτου λειπόμενα πάντα καὶ κτήματα καὶ ἐπιτηδεύματα, αἰσχρὰ καὶ κακά, οὔτε γὰρ πλοῦτος, κάλλος φέρει τῷ κεκτημένῳ μετ' ἀνανδρίας, ἄλλῳ γὰρ ὁ τοιοῦτος πλουτεῖ, καὶ οὐχ ἑαυτῷ, οὔτε σώματος κάλλος καὶ ἰσχὺς δειλῷ καὶ κακῷ ξυνοικοῦντα, πρέποντα φαίνεται, ἀλλ' ἀπρεπῆ καὶ ἐπιφανέστερον ποιεῖ τὸν ἔχοντα. καὶ ἐκφαίνει τὴν δειλίαν, πᾶσά τε ἐπιστήμη χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς, πανουργία οὐ σοφία φαίνεται, ὧν ἕνεκα καὶ πρῶτον καὶ ὕστατον καὶ διαπαντὸς, πᾶσαν πάντως προθυμίαν πειρᾶσθε ἔχειν, ὅπως μάλιστα μὲν ὑπερβαλεῖσθε καὶ ἡμᾶς καὶ τοὺς πρόσθεν εὐκλείᾳ, εἰ δὲ μὴ, ἴστε ὡς ἡμῖν ἂν μὲν νικῶμεν ὑμᾶς ἀρετῇ, ἡ νίκη αἰσχύνην φέρει. ἡ δὲ ἧττα ἐὰν ἡττώμεθα, εὐδαιμονίαν, μάλιστα δ' ἂν νικώμεθα καὶ ὑμεῖς νικῶντες, εἰ παρασκευάσαισθε τῇ τῶν προγόνων δόξῃ μὴ καταχρησάμενοι μηδ' ἀναλώσαντες αὐτὴν, γνόντες ὅτι ἀνδρὶ οἰομένῳ τι εἶναι, οὐκ ἔστιν αἴσχιον ἢ παρέχειν ἑαυτὸν τιμώμενον μὴ δι' ἑαυτὸν, ἀλλὰ διὰ δόξαν προγόνων εἶναι μὲν γὰρ τιμὰς γονέων ἐκγόνοις καλὸς θησαυρὸς καὶ μεγαλοπρεπής. χρῆσθαι δὲ καὶ χρημάτων καὶ τιμῶν θησαυρῷ καὶ μὴ τοῖς ἐκγόνοις παραδιδόναι αἰσχρὸν καὶ ἄνανδρον, ἀπορίᾳ ἰδίων αὐτοῦ κτημάτων τε καὶ εὐδοξιῶν, καὶ ἐὰν μὲν ταῦτα ἐπιτηδεύσητε φίλοι παρὰ φίλους ἡμᾶς ἀφίξεσθε, ὅταν δὴ ὑμᾶς ἡ προσήκουσα μοῖρα κομίσῃ, ἀμελήσαντας δὲ ὑμᾶς καὶ κακισθέντας, οὐδεὶς εὐμενῶς ὑποδέξεται, τοῖς μὲν οὖν

παισὶ, ταῦτ' εἰρήσθω, πατέρας δὲ ἡμῶν οἷς εἰσὶ καὶ μητέρας ἀεὶ χρὴ παραμυθεῖσθαι, ὡς χρὴ ῥᾷστα φέρειν τὴν συμφοράν, ἐὰν ἄρα ξυμβῇ γενέσθαι, καὶ μὴ ξυνοδύρεσθαι, οὐ γὰρ τοῦ λυπήσοντος προσδεήσονται, ἱκανὴ γὰρ ἔσται καὶ ἡ γενομένη τύχη τοῦτο πορίζεσθαι ἀλλ' ἰωμένους καὶ πραΰνοντας, ἀναμιμνήσκειν αὐτοὺς, ὅτι ὧν ηὔχοντο τὰ μέγιστα αὐτοῖς οἱ θεοὶ ἐπήκοοι γεγόνασιν. οὐ γὰρ ἀθανάτους σφίσι παῖδας ηὔχοντο γενέσθαι, ἀλλ' ἀγαθοὺς καὶ εὐκλεεῖς ὧν ἔτυχον, μεγίστων ἀγαθῶν ὄντων, πάντα δὲ οὐ ῥᾴδιον θνητῷ ἀνδρὶ κατὰ νοῦν ἐν τῷ ἑαυτοῦ βίῳ ἐκβαίνειν, καὶ φέροντες μὲν ἀνδρείως τὰς συμφορὰς, δόξουσι τῷ ὄντι ἀνδρείων παίδων πατέρες εἶναι, καὶ αὐτοὶ τοιοῦτοι. ὑπείκοντες δὲ, ὑποψίαν παρέξουσιν ἢ μὴ ἡμέτεροι εἶναι, ἢ ἡμῶν τοὺς ἐπαινοῦντας καταψεύδεσθαι, χρὴ δὲ οὐδέτερα τούτων, ἀλλ' ἐκείνους μάλιστα πάντων, ἡμῶν ἐπαινέτας εἶναι, ἔργῳ παρέχοντας αὐτοὺς φαινομένους τῷ ὄντι πατέρας ὄντας ἄνδρας ἀνδρῶν πάλαι γὰρ δὴ τὸ μηδὲν ἄγαν λεγόμενον, καλῶς δοκεῖ λέγεσθαι, τῷ γὰρ ὄντι εὖ λέγεται. ὅτῳ γὰρ ἀνδρὶ εἰς ἑαυτὸν ἀνήρτηται πάντα τὰ πρὸς εὐδαιμονίαν φέροντα, ἢ ἐγγὺς τούτου, καὶ μὴ ἐν ἄλλοις ἀνθρώποις αἰωρεῖται, ἐξ ὧν ἢ εὖ. ἢ κακῶς πραξάντων πλανᾶσθαι ἠνάγκασται καὶ τὰ ἐκείνου, τούτῳ ἄριστα παρεσκεύασται ζῆν, οὗτός ἐστιν ὁ σώφρων, καὶ οὗτος ὁ ἀνδρεῖος καὶ φρόνιμος, οὗτος γιγνομένων χρημάτων καὶ παίδων καὶ διαφθειρομένων μάλιστα πείσεται τῇ παροιμίᾳ οὔτε γὰρ χαίρων, οὔτε λυπούμενος ἄ-

γαν φανήσεται διὰ τὸ αὑτῷ πεποιθέναι, τοιούτοις δὲ ἡμεῖς γε ἀξιοῦμεν καὶ τοὺς ἡμετέρους εἶναι, καὶ βουλόμεθα, καὶ φαμὲν, καὶ ἡμᾶς αὐτοὺς νῦν παρέχομεν, τοιούτους, οὐκ ἀγανακτοῦντας, οὐδὲ φοβουμένους ἄγαν εἰ δεῖ τελευτᾶν ἐν τῷ παρόντι, δεόμεθα δὴ καὶ πατέρων καὶ μητέρων τῇ αὐτῇ ταύτῃ διανοίᾳ χρωμένους, τὸν ἐπίλοιπον βίον διάγειν, καὶ εἰδέναι ὅτι οὐ θρηνοῦντες, οὐδὲ ὀλοφυρόμενοι ἡμᾶς ἡμῖν μάλιστα χαριοῦνται, ἀλλ' εἴ τις ἐστὶ τοῖς τετελευτηκόσιν αἴσθησις τῶν ζώντων, οὕτως ἀχάριστοι εἶεν ἂν μάλιστα ἑαυτούς τε κακοῦντες, καὶ βαρέως φέροντες τὰς ξυμφορὰς, κούφως δὲ καὶ μετρίως μάλιστ' ἂν χαρίζοιντο, τὰ μὲν γὰρ ἡμέτερα, τελευτὴν ἤδη ἕξει, ἥπερ καλλίστη γίγνεται ἀνθρώποις, ὥστε πρέπειν αὐτὰ μᾶλλον κοσμεῖν ἢ θρηνεῖν, γυναικῶν δὲ τῶν ἡμετέρων καὶ παίδων ἐπιμελούμενοι καὶ τρέφοντες, καὶ ἐνταῦθα τὸν νοῦν τρέποντες, τῆς τε τύχης μάλιστ' ἂν εἶεν ἐν λήθῃ, καὶ ζῷεν κάλλιον, καὶ ὀρθότερον, καὶ ἡμῖν προσφιλέστερον. ταῦτα δὴ ἱκανὰ τοῖς ἡμετέροις παρ' ἡμῶν ἀγγέλλειν, τῇ δὲ πόλει παρακελευοίμεθ' ἂν ὅπως ἡμῖν καὶ πατέρων καὶ υἱέων ἐπιμελήσονται, τοὺς μὲν, παιδεύοντες κοσμίως, τοὺς δὲ, γηροτροφοῦντες ἀξίως, νῦν δὲ ἴσμεν ὅτι καὶ ἐὰν μὴ ἡμεῖς παρακελευόμεθα, ἱκανῶς ἐπιμελήσεται. Ταῦτα οὖν ὦ παῖδες καὶ γονεῖς τῶν τελευτησάντων, ἐκεῖνοί τε ἐπέσκηπτον ἡμῖν ἀπαγγέλλειν, καὶ ἐγὼ ὡς δύναμαι προθυμότατα ἀπαγγέλλω, καὶ αὐτὸς δέομαι ὑπὲρ ἐκείνων τῶν μὲν, μιμεῖσθαι τοὺς αὐτῶν, τῶν δὲ, θαρ

ἐρεῖν ὑπὲρ αὐτῶν ὡς ἡμῶν καὶ ἰδία καὶ δημοσία γηροτροφησόντων ὑμᾶς καὶ ἐπιμελησομένων, ὅπου ἂν ἕκαστος ἑκάστῳ ἐν τυγχάνῃ ὁτῳοῦν τῶν ἐκείνων, τῆς δὲ πόλεως ἴστέ που καὶ αὐτοὶ τὴν ἐπιμέλειαν, ὅτι νόμους θεμένη περὶ τοὺς ἐν τῷ πολέμῳ τελευτησάντων, παῖδάς τε καὶ γεννήτορας ἐπιμελεῖται καὶ διαφερόντως τῶν ἄλλων πολιτῶν προστέτακται φυλάττειν ἀρχὴ ἥπερ μεγίστη ἐστὶν. ὅπως ἂν οἱ τούτων μὴ ἀδικῶνται πατέρες τε καὶ μητέρες, τοὺς δὲ παῖδας συνεκτρέφει αὐτὴ προθυμουμένη, ὅτι μάλιστ' ἄδηλον αὐτοῖς τὴν ὀρφανίαν γενέσθαι, ἐν πατρὸς σχήματι καταστᾶσα αὐτοῖς αὐτὴ ἔτι τε παισὶν οὖσι καὶ ἐπειδὰν εἰς ἀνδρὸς τέλος ἴωσιν ἀποπέμπει ἐπὶ τὰ σφέτερ' αὐτῶν, πανοπλίᾳ κοσμήσασα, ἐνδεικνυμένη καὶ ἀναμιμνήσκουσα τὰ τοῦ πατρὸς ἐπιτηδεύματα, ὄργανα τῆς πατρῴας ἀρετῆς διδοῦσα, καὶ ἅμα οἰωνοῦ χάριν ἄρχεσθαι ἰέναι ἐπὶ τὴν πατρῴαν ἑστίαν. ἄρξοντα μετ' ἰσχύος ὅπλοις κεκοσμημένον, αὐτοὺς δὲ τοὺς τελευτήσαντας τιμῶσα οὐδέποτε ἐκλείπει καθ' ἕκαστον ἐνιαυτὸν αὐτὴ τὰ νομιζόμενα ποιοῦσα κοινῇ πᾶσιν ἅπερ ἰδία ἑκάστῳ ἰδία γίγνεται. πρὸς δὲ τούτοις ἀγῶνας γυμνικοὺς καὶ ἱππικοὺς τιθεῖσα, καὶ μουσικῆς πάσης, καὶ ἀτεχνῶς τῶν μὲν τελευτησάντων, ἐν κληρονόμου καὶ υἱέος μοίρᾳ καθεστηκυῖα, τῶν δὲ υἱέων, ἐν πατρὸς, γονέων δὲ καὶ τῶν τοιούτων, ἐν ἐπιτρόπου πᾶσαν πάντων παρὰ πάντα χρόνον ἐπιμέλειαν ποιουμένη, ὧν χρὴ ἐνθυμουμένους πρᾳότερον φέρειν τὴν ξυμφοράν, τοῖς γὰρ τελευτήσασι καὶ τοῖς ζῶσιν,

οὕτως

οὕτως ἂν προσφιλέστατοι εἶεν τε, καὶ ῥᾷστοι θεραπεύειν τε καὶ θεραπεύεσθαι, νῦν δὴ ἤδη ὑμεῖς τε καὶ ἄλλοι πάντες κοινῇ κατὰ τὸν νόμον τοὺς τε τελευτηκότας ἀπολοφυράμενοι, ἄπιτε. Οὗτός σοι ὁ λόγος ὦ μενέξενε ἀσπασίας τῆς μιλησίας ἐστί. Με. Νὴ δία ὦ σώκρατες μακαρίαν γε λέγεις τὴν ἀσπασίαν εἰ γυνὴ οὖσα, τοιούτους λόγους οἵα τ' ἐστὶ συνθεῖναι. Σω. Ἀλλ' εἰ μὴ πιστεύεις, ἀκολούθει μετ' ἐμοῦ, καὶ ἀκούσῃ αὐτῆς λεγούσης. Με. Πολλάκις ὦ σώκρατες ἐγὼ ἐντετύχηκα ἀσπασίᾳ, καὶ οἶδα οἵα ἐστί. Σω. Τί οὖν οὐκ ἄγασαι αὐτὴν καὶ νῦν χάριν ἔχεις τοῦ λόγου αὐτῇ; Με. Καὶ πολλήν γε ὦ σώκρατες ἐγὼ χάριν ἔχω τούτου τοῦ λόγου ἐκείνῃ ἢ ἐκείνῳ, ὅστις σοι ὁ εἰπών ἐστιν αὐτόν, καὶ πρός γε ἄλλων πολλῶν χάριν ἔχω τῷ εἰπόντι. Σω. Εὖ ἂν ἔχοι, ἀλλ' ὅπως μου μὴ κατερεῖς, ἵνα καὶ αὖθις σοι πολλοὺς καὶ καλοὺς λόγους παρ' αὐτῆς πολιτικοὺς ἀπαγγέλλω. Με. Θάρρει οὐ κατερῶ, μόνον ἀπάγγελλε ἀλλὰ ταῦτ' ἔσται.

Τέλος Μενεξένου ἐπιταφίου.

# ΕΠΙΤΑΦΙΟΣ ΛΟΓΟΣ ΤΟΥ ΠΕΡΙΚΛΕΟΥΣ.

ε

Ν δὲ τῷ αὐτῷ χειμῶνι, οἱ ἀθηναῖοι τῷ πατρίῳ νόμῳ χρώμενοι, δημοσίᾳ ταφὰς ἐποιήσαντο τῶν ἐν τῷδε τῷ πολέμῳ πρώτων ἀποθανόντων τρόπῳ τοιῷδε, τὰ μὲν ὀστᾶ προτίθενται τῶν ἀπογενομένων πρότριτα σκηνὴν ποιήσαντες, καὶ ἐπιφέρει τῷ αὑτοῦ ἕκαστος, ἤν τι βούληται, ἐπειδὰν δὲ ἡ ἐκφορὰ ᾖ, λάρνακας κυπαρισσίνας ἄγουσιν ἅμαξαι, φυλῆς ἑκάστης μίαν, ἔνεστι δὲ καὶ τὰ ὀστᾶ ἧς ἕκαστος ἦν φυλῆς, μία δὲ κλίνη κενὴ φέρεται ἐστρωμένη τῶν ἀφανῶν, οἳ ἂν μὴ εὑρεθῶσιν ἐς ἀναίρεσιν, ξυνεκφέρει δὲ ὁ βουλόμενος καὶ ἀστῶν, καὶ ξένων, καὶ γυναῖκες πάρεισιν αἱ προσήκουσαι ἐπὶ τὸν τάφον ὀλοφυρόμεναι. τιθέασιν οὖν ἐς τὸ δημόσιον σῆμα, ὅ ἐστιν ἐπὶ τοῦ καλλίστου προαστείου τῆς πόλεως, καὶ ἀεὶ ἐν αὐτῷ θάπτουσι τοὺς ἐκ τῶν πολέμων, πλήν γε τοὺς ἐν μαραθῶνι, ἐκείνων δὲ διαπρεπῆ τὴν ἀρετὴν κρίναντες, αὐτοῦ καὶ τὸν τάφον ἐποίησαν, ἐπειδὰν δὲ κρύψωσι γῇ, ἀνὴρ ᾑρημένος ὑπὸ τῆς πόλεως, ὃς ἂν γνώμῃ τε δοκῇ μὴ ἀξύνετος εἶναι, καὶ ἀξιώματι προήκῃ, λέγει ἐπ' αὐτοῖς ἔπαινον τὸν πρέποντα, μετὰ δὲ τοῦτο, ἀπέρχονται, ὧδε μὲν θάπτουσι, καὶ διαπαντὸς τοῦ πολέμου, ὁπότε ξυμβαίη αὐτοῖς, ἐχρῶντο τῷ νόμῳ, ἐπὶ δ' οὖν τοῖς πρώτοις τοῖσδε, περικλῆς ὁ ξανθίππου ᾑρέθη λέγειν, καὶ ἐπειδὴ καιρὸς ἐλάμβανε, προελθὼν

ἀπὸ τοῦ σήματος ἐπὶ βῆμα ὑψηλὸν πεποιημένον, ὅπως ἀκούοιτο ὡς ἐπὶ πλεῖστον τοῦ ὁμίλου, ἔλεγε τοιάδε,

Οἱ μὲν πολλοὶ τῶν ἐνθάδε ἤδη εἰρηκότων, ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν, ἐμοὶ δ' ἂν ἀρκοῦν ἐδόκει εἶναι, ἀνδρῶν ἀγαθῶν ἔργῳ γενομένων, ἔργῳ καὶ δηλοῦσθαι τὰς τιμάς, οἷα καὶ νῦν περὶ τὸν τάφον τόνδε δημοσίᾳ παρασκευασθέντα ὁρᾶτε, καὶ μὴ ἐν ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι, εὖ τε καὶ χεῖρον εἰπόντι πιστευθῆναι, χαλεπὸν γὰρ τὸ μετρίως εἰπεῖν, ἐν ᾧ μόλις καὶ ἡ δόκησις τῆς ἀληθείας βεβαιοῦται, ὅ, τε γὰρ ξυνειδὼς, καὶ εὔνους ἀκροατὴς, τάχ' ἄν τι ἐνδεεστέρως πρὸς ἃ βούλεταί τε καὶ ἐπίσταται νομίσειε δηλοῦσθαι, ὅ, τε ἄπειρος, ἔστιν ἃ καὶ πλεονάζεσθαι διὰ φθόνον, εἴ τι ὑπὲρ τὴν ἑαυτοῦ φύσιν ἀκούοι μέχρι γὰρ τοῦδε, ἀνεκτοὶ οἱ ἔπαινοί εἰσι περὶ ἑτέρων λεγόμενοι, ἐς ὅσον ἂν καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαί τι, ὧν ἤκουσε, τῷ δὲ ὑπερβάλλοντι, αὐτῶν φθονοῦντες ἤδη καὶ ἀπιστοῦσιν. Ἐπειδὴ δὲ τοῖς πάλαι οὕτως ἐδοκιμάσθη ταῦτα καλῶς ἔχειν, χρὴ καὶ ἐμὲ ἑπόμενον τῷ νόμῳ, πειρᾶσθαι ὑμῶν τῆς ἑκάστου βουλήσεώς τε καὶ δόξης τυχεῖν ὡς ἐπὶ πλεῖστον, ἄρξομαι δὲ ἀπὸ τῶν προγόνων πρῶτον, δίκαιον γὰρ αὐτοῖς καὶ πρέπον δὲ ἅμα ἐν τῷ τοιῷδε τὴν τιμὴν ταύτην τῆς μνήμης δίδοσθαι, τὴν γὰρ χώραν ἀεὶ οἱ αὐτοὶ οἰκοῦντες, διαδοχῇ τῶν ἐπιγιγνομένων, μέ

χρι τοῦδε, ἐλευθέραν δι' ἀρετὴν παρέδοσαν. καὶ ἐκεῖνοί τε ἄξιοι ἐπαίνου, καὶ ἔτι μᾶλλον οἱ πατέρες ἡμῶν, κτησάμενοι γὰρ πρὸς οἷς ἐδέξαντο ὅσην ἔχομεν ἀρχὴν, οὐκ ἀπόνως ἡμῖν τοῖς νῦν προσκατέλιπον, τὰ δὲ πλείω αὐτῆς, αὐτοὶ ἡμεῖς οἵδε, οἱ νῦν ἔτι ὄντες, μάλιστα ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ ἐπηυξήσαμεν, καὶ τὴν πόλιν τοῖς πᾶσι παρεσκευάσαμεν καὶ ἐς πόλεμον, καὶ ἐς εἰρήνην αὐταρκεστάτην. ὧν ἐγὼ τὰ μὲν κατὰ πολέμους ἔργα, οἷς ἕκαστα ἐκτήθη, ἢ εἴ τι αὐτοὶ, ἢ οἱ πατέρες ἡμῶν βάρβαρον ἢ ἕλληνα πόλεμον ἐπιόντα προθύμως ἠμυνάμεθα, μακρηγορεῖν ἐν εἰδόσιν οὐ βουλόμενος, ἐάσω. ἀπὸ δὲ οἵας τε ἐπιτηδεύσεως ἤλθομεν ἐπ' αὐτὰ, καὶ μεθ' οἵας πολιτείας, καὶ τρόπων ἐξ οἵων μεγάλα ἐγένετο, ταῦτα δηλώσας πρῶτον, εἶμι καὶ ἐπὶ τὸν τῶνδε ἔπαινον, νομίζων ἐπί τε τῷ παρόντι οὐκ ἂν ἀπρεπῆ λεχθῆναι αὐτὰ, καὶ τὸν πάντα ὅμιλον καὶ ἀστῶν, καὶ ξένων ξύμφορον εἶναι αὐτῶν ἐπακοῦσαι, χρώμεθα γὰρ πολιτείᾳ οὐ ζηλούσῃ τοὺς τῶν πέλας νόμους. παράδειγμα δὲ αὐτοὶ μᾶλλον ὄντες τισὶ, ἢ μιμούμενοι ἑτέρους, καὶ ὄνομα μὲν, διὰ τὸ μὴ ἐς ὀλίγους, ἀλλ' ἐς πλείονας οἰκεῖν, δημοκρατία κέκληται, μέτεστι δὲ κατὰ μὲν τοὺς νόμους, πρὸς τὰ ἴδια διάφορα πᾶσι τὸ ἴσον, κατὰ δὲ τὴν ἀξίωσιν, ὡς ἕκαστος ἔν τῳ εὐδοκιμεῖ, οὐκ ἀπὸ μέρους τὸ πλεῖον ἐς τὰ κοινὰ, ἢ ἀπ' ἀρετῆς προτιμᾶται, οὐδ' αὖ κατὰ πενίαν, ἔχων δέ τι ἀγαθὸν δρᾶσαι τὴν πόλιν, ἀξιώματος ἀφανίᾳ κεκώλυται, ἐλευθέρως δὲ τά τε πρὸς τὸ κοινὸν πολιτεύομεν, καὶ

ἐς τὴν πρὸς ἀλλήλους τῶν καθημέραν ἐπιτηδευμάτων ὑποψίαν, οὐ δι' ὀργῆς τὸν πέλας, οἱ καθ' ἡδονήν τι δρᾷν ἔχοντες. οὐδὲ ἀζημίους μὲν, λυπηρὰς δὲ τῇ ὄψει ἀχθηδόνας προστιθέμενοι, ἀνεπαχθῶς δὲ τὰ ἴδια προσομιλοῦντες, τὰ δημόσια διὰ δέος μάλιστα οὐ παρανομοῦμεν, τῶν τε ἀεὶ ἐν ἀρχῇ ὄντων ἀκροάσει, καὶ τῶν νόμων, καὶ μάλιστα αὐτῶν, ὅσοι τε ἐπ' ὠφελείᾳ τῶν ἀδικουμένων κεῖνται, καὶ ὅσοι ἄγραφοι ὄντες, αἰσχύνην ὁμολογουμένην φέρουσι, καὶ μὴν καὶ τῶν πόνων πλείστας ἀναπαύλας τῇ γνώμῃ ἐπορισάμεθα, ἀγῶσι μέν γε καὶ θυσίαις διετησίοις νομίζοντες, ἰδίαις δὲ κατασκευαῖς εὐπρεπέσιν, ὧν καθημέραν ἡ τέρψις τὸ λυπηρὸν ἐκπλήσσει. ἐπεισέρχεται δὲ διὰ μέγεθος τῆς πόλεως ἐκ πάσης γῆς τὰ πάντα, καὶ ξυμβαίνει ἡμῖν μηδὲν οἰκειοτέρᾳ τῇ ἀπολαύσει, τὰ αὐτοῦ ἀγαθὰ γιγνόμενα καρποῦσθαι, ἢ καὶ τὰ τῶν ἄλλων ἀνθρώπων, διαφέρομεν δὲ καὶ ταῖς τῶν πολεμικῶν μελέταις τῶν ἐναντίων τοῖσδε, τήν τε γὰρ πόλιν κοινὴν παρέχομεν, καὶ οὐκ ἔστιν ὅτε ξενηλασίαις ἀπείργομεν τινα, ἢ μαθήματος, ἢ θεάματος, ὃ μὴ κρυφθὲν ἄν τις τῶν πολεμίων ἰδὼν, ὠφεληθείη, πιστεύοντες οὐ ταῖς παρασκευαῖς τὸ πλέον καὶ ἀπάταις, ἢ τῷ ἀφ' ἡμῶν αὐτῶν ἐς τὰ ἔργα εὐψύχῳ. καὶ ἐν ταῖς παιδείαις, οἱ μὲν, ἐπιπόνῳ ἀσκήσει εὐθὺς νέοι ὄντες, τὸ ἀνδρεῖον μετέρχονται, ἡμεῖς δὲ, ἀνειμένως διαιτώμενοι, οὐδὲν ἧσσον ἐπὶ τοὺς ἰσοπαλεῖς κινδύνους χωροῦμεν. τεκμήριον δὲ, οὔτε γὰρ Λακεδαιμόνιοι καθ' ἑκάστους, μετὰ πάντων δ' ἐς τὴν

γῆν ἡμῶν στρατεύουσι, τήν τε τῶν πέλας αὐτοὶ ἐπελθόντες, οὐ χαλεπῶς ἐν τῇ ἀλλοτρίᾳ τοὺς περὶ τῶν οἰκείων ἀμυνομένους μαχόμενοι, τὰ πλείω κρατοῦμεν. ἀθρόᾳ τε τῇ δυνάμει ἡμῶν οὐδείς πω πολέμιος ἐνέτυχε, διὰ τὴν τοῦ ναυτικοῦ τε ἅμα ἐπιμέλειαν, καὶ τὴν ἐν τῇ γῇ ἐπὶ πολλὰ ἡμῶν αὐτῶν ἐπίπεμψιν, ἢν δέ που μορίῳ τινὶ προσμίξωσι, κρατήσαντές τε τινὰς ἡμῶν, πάντας αὐχοῦσιν ἀπεῶσθαι. καὶ νικηθέντες ὑφ' ἁπάντων, ἡσσῆσθαι, καίτοι εἰ ῥαθυμίᾳ μᾶλλον ἢ πόνων μελέτῃ, καὶ μὴ μετὰ νόμων τὸ πλεῖον, ἢ τρόπων ἀνδρείας ἐθέλοιμεν κινδυνεύειν, περιγίγνεται ἡμῖν τοῖς τε μέλλουσιν ἀλγεινοῖς μὴ προκάμνειν, καὶ ἐς αὐτὰ ἐλθοῦσι, μὴ ἀτολμοτέρους τῶν ἀεὶ μοχθούντων φαίνεσθαι, καὶ ἔν τε τούτοις, τὴν πόλιν ἀξίαν εἶναι θαυμάζεσθαι, καὶ ἔτι ἐν ἄλλοις. φιλοκαλοῦμέν τε γὰρ μετ' εὐτελείας, καὶ φιλοσοφοῦμεν ἄνευ μαλακίας, πλούτῳ τε ἔργου μᾶλλον καιρῷ, ἢ λόγου κόμπῳ χρώμεθα, καὶ τὸ πένεσθαι οὐχ ὁμολογεῖν τινι αἰσχρὸν, ἀλλὰ μὴ διαφεύγειν ἔργῳ αἴσχιον. ἔνι τε τοῖς αὐτοῖς οἰκείων ἅμα, καὶ πολιτικῶν ἐπιμέλεια, καὶ ἑτέροις πρὸς ἔργα τετραμμένοις, τὰ πολιτικὰ μὴ ἐνδεῶς γνῶναι. μόνοι γὰρ τόν τε μηδὲν τῶνδε μετέχοντα, οὐκ ἀπράγμονα, ἀλλ' ἀχρεῖον νομίζομεν, καὶ αὐτοὶ ἤτοι κρίνομέν γε, ἢ ἐνθυμούμεθα ὀρθῶς τὰ πράγματα, οὐ τοὺς λόγους τοῖς ἔργοις βλάβην ἡγούμενοι, ἀλλὰ μὴ προδιδαχθῆναι μᾶλλον λόγῳ πρότερον, ἢ ἐπὶ ἃ δεῖ ἔργῳ ἐλθεῖν, διαφερόντως γὰρ δὴ καὶ τόδε ἔχομεν, ὥστε τολμᾶν τε οἱ

αὐτοὶ μάλιστα καὶ περὶ ὧν ἐπιχειρήσομεν ἐκλο-
γίζεσθαι. ὃ τοῖς ἄλλοις ἀμαθία μὲν, θράσος, λο-
γισμὸς δὲ, ὄκνον φέρει, κράτιστοι δ᾽ ἂν τὴν ψυχὴν
δικαίως κριθεῖεν, οἱ τά τε δεινὰ, καὶ ἡδέα σαφέ-
στατα γιγνώσκοντες, καὶ διὰ ταῦτα μὴ ἀποτρεπό-
μενοι ἐκ τῶν κινδύνων, καὶ τὰ ἐς ἀρετὴν ἠναντιώ-
μεθα τοῖς πολλοῖς, οὐ γὰρ πάσχοντες εὖ, ἀλλὰ
δρῶντες κτώμεθα τοὺς φίλους, βεβαιότερος δὲ
ὁ δράσας τὴν χάριν, ὥστε ὀφειλομένην δι᾽ εὐ-
νοίας ᾧ δέδωκε σῴζειν, ὁ δ᾽ ἀντοφείλων, ἀμβλύ-
τερος, εἰδὼς οὐκ ἐς χάριν, ἀλλ᾽ ἐς ὀφείλημα τὴν
ἀρετὴν ἀποδώσων, καὶ μόνοι οὐ τοῦ ξυμφέροντος
μᾶλλον λογισμῷ, ἢ τῆς ἐλευθερίας τῷ πιστῷ
ἀδεῶς τινα ὠφελοῦμεν, ξυνελών τε λέγω τήν τε
πᾶσαν πόλιν τῆς ἑλλάδος παίδευσιν εἶναι, καὶ κα-
θέκαστον δοκεῖν ἄν μοι τὸν αὐτὸν ἄνδρα παρ᾽ ἡμῶν
ἐπιπλεῖστ᾽ ἂν εἴδη, καὶ μετὰ χαρίτων μάλιστ᾽ ἂν εὐ-
τραπέλως τὸ σῶμα αὔταρκες παρέχεσθαι, καὶ ὡς
οὐ λόγων ἐν τῷ παρόντι κόμπος τάδε μᾶλλον, ἢ
ἔργων ἐστὶν ἀλήθεια αὕτη ἡ δύναμις τῆς πόλεως,
ἣν ἀπὸ τῶνδε τῶν τρόπων ἐκτησάμεθα, σημαίνει,
μόνη γὰρ τῶν νῦν ἀκοῆς κρείσσων ἐς πεῖραν ἔρχε-
ται, καὶ μόνη οὔτε τῷ πολεμίῳ ἐπελθόντι ἀγα-
νάκτησιν ἔχει ὑφ᾽ οἵων κακοπαθεῖ, οὔτε τῷ ὑπη-
κόῳ κατάμεμψιν, ὡς οὐχ ὑπ᾽ ἀξίων ἄρχεται,
μετὰ μεγάλων δὲ σημείων, καὶ οὐδή τοι ἀμάρτυ-
ρόν γε τὴν δύναμιν παρασχόμενοι, τοῖς τε νῦν, καὶ
τοῖς ἔπειτα θαυμασθησόμεθα, καὶ οὐδὲν προσ-
δεόμενοι οὔτε Ὁμήρου ἐπαινέτου, οὔτε ὅς τις ἔ-
πεσι μὲν τὸ αὐτίκα τέρψει, τῶν δ᾽ ἔργων τὴν ὑπό-

νοιεν ἡ ἀλήθεια βλάψει, ἀλλὰ πᾶσαν μὲν θάλασ-
σαν καὶ γῆν ἐσβατὸν τῇ ἡμετέρᾳ τόλμῃ καταναγ-
κάσαντες γενέσθαι, πανταχοῦ δὲ μνημεῖα κα-
κῶν τε κἀγαθῶν ἀΐδια ξυγκατοικήσαντες, περὶ
τοιαύτης οὖν πόλεως οἵδε τε γενναίως δικαιοῦν-
τες μὴ ἀφαιρεθῆναι αὐτὴν, μαχόμενοι ἐτελεύτη-
σαν, καὶ τῶν λειπομένων πάντα τινὰ εἰκὸς ἐθέ-
λειν ὑπὲρ αὐτῆς κάμνειν, διὸ δὴ καὶ ἐμήκυνα τὰ
περὶ τῆς πόλεως, διδασκαλίαν τε ποιούμενος
μὴ περὶ ἴσου ἡμῖν εἶναι τὸν ἀγῶνα, καὶ οἷς τῶνδε
μηδὲν ὑπάρχει ὁμοίως, καὶ τὴν εὐλογίαν ἅμα
ἐφ' οἷς νῦν λέγω φανερὰν σημείοις καθιστὰς, καὶ
εἴρηται αὐτῆς τὰ μέγιστα, ἃ γὰρ τὴν πόλιν ὕμνη-
σα, αἱ τῶνδε καὶ τῶν τοιῶνδε ἀρεταὶ ἐκόσμησαν,
καὶ οὐκ ἂν πολλοῖς τῶν ἑλλήνων ἰσόρροπος, ὥσ-
περ τῶνδε ὁ λόγος τῶν ἔργων φανείη. δοκεῖ δή μοι
δηλοῦν ἀνδρὸς ἀρετὴν, πρώτη τε μηνύουσα,
καὶ τελευταία βεβαιοῦσα, ἡ νῦν τῶνδε καταστρο-
φὴ, καὶ γὰρ τοῖς τἆλλα χείροσι, δίκαιον τὴν ἐς
τοὺς πολέμους ὑπὲρ τῆς πατρίδος ἀνδραγαθίαν
προτίθεσθαι. ἀγαθῷ γὰρ κακὸν ἀφανίσαντες, κοι-
νῶς μᾶλλον ὠφέλησαν, ἢ ἐκ τῶν ἰδίων ἔβλαψαν,
τῶνδε δὲ οὔτε πλούτου τις τὴν ἔτι ἀπόλαυσι
προτιμήσας ἐμαλακίσθη, οὔτε πενίας ἐλπίδι,
ὡς κἂν ἔτι διαφυγὼν αὐτὴν, πλουτήσειεν, ἀνα-
βολὴν τοῦ δεινοῦ ἐποιήσατο, τὴν δὲ τῶν ἐναντίων
τιμωρίαν ποθεινοτέραν αὐτῶν λαβόντες, καὶ κιν-
δύνων ἅμα τόνδε κάλλιστον νομίσαντες, ἠβουλή-
θησαν μετ' αὐτοῦ, τοὺς μὲν, τιμωρεῖσθαι, τῶν δὲ,
ἐφίεσθαι, ἐλπίδι μὲν τὸ ἀφανὲς τοῦ κατορθώσειν

ἐπιτρέψαντες,

ἐπιφέροντες, ἔργῳ δὲ περὶ τοῦ ἤδη ὁρωμένου σφίσιν αὐτοῖς ἀξιοῦντες πεποιθέναι. καὶ ἐν αὐτῷ τῷ ἀμύνεσθαι καὶ παθεῖν μᾶλλον ἡγησάμενοι, ἢ τῷ ἐνδόντες, σώζεσθαι, τὸ μὲν αἰσχρὸν τοῦ λόγου ἔφυγον, τὸ δ' ἔργον, τῷ σώματι ὑπέμειναν, καὶ δι' ἐλαχίστου καιροῦ τύχης ἅμα ἀκμῇ τῆς δόξης μᾶλλον, ἢ τοῦ δέους ἀπηλλάγησαν. καὶ οἵδε μὲν προσηκόντως τῇ πόλει τοιοίδε ἐγένοντο, τοὺς δὲ λοιποὺς χρὴ ἀσφαλεστέραν μὲν εὔχεσθαι, ἀτολμοτέραν δὲ μηδὲν ἀξιοῦν τὴν ἐς τοὺς πολεμίους διάνοιαν ἔχειν, σκοποῦντας μὴ λόγῳ μόνῳ τὴν ὠφέλειαν, ἣν ἄν τις πρὸς οὐδὲν χεῖρον αὐτοὺς ὑμᾶς εἰδότας μηκύνοι, λέγων ὅσα ἐν τῷ τοὺς πολεμίους ἀμύνεσθαι ἀγαθὰ ἔνεστιν, ἀλλὰ μᾶλλον τὴν τῆς πόλεως δύναμιν καθ' ἡμέραν ἔργῳ θεωμένους, καὶ ἐραστὰς γιγνομένους αὐτῆς. καὶ ὅταν ὑμῖν μεγάλη δόξῃ εἶναι, ἐνθυμουμένους ὅτι τολμῶντες, καὶ γιγνώσκοντες τὰ δέοντα, καὶ ἐν τοῖς ἔργοις αἰσχυνόμενοι, ἄνδρες αὐτὰ ἐκτήσαντο, καὶ ὁπότε καὶ πείρᾳ του σφαλεῖεν, οὐκ οὖν καὶ τὴν πόλιν γε τῆς σφετέρας ἀρετῆς ἀξιοῦντες στερίσκειν, κάλλιστον δὲ ἔρανον αὐτῇ προϊέμενοι. κοινῇ γὰρ τὰ σώματα διδόντες, ἰδίᾳ τὸν ἀγήρων ἔπαινον ἐλάμβανον, καὶ τὸν τάφον ἐπισημότατον, οὐκ ἐν ᾧ κεῖνται μᾶλλον, ἀλλ' ἐν ᾧ ἡ δόξα αὐτῶν παρὰ τῷ ἐντυχόντι ἀεὶ καὶ λόγου καὶ ἔργου καιρῷ, ἀείμνηστος καταλείπεται. ἀνδρῶν γὰρ ἐπιφανῶν, πᾶσα γῆ τάφος, καὶ οὐ στηλῶν μόνον ἐν τῇ οἰκείᾳ σημαίνει ἐπιγραφή, ἀλλὰ καὶ ἐν τῇ μὴ προσηκούσῃ, ἄγραφος μνήμη παρ' ἑκάστῳ τῆς γνώμης

μᾶλλον, ἢ τοῦ ἔργου ἐνδιαιτᾶται. οὓς νῦν ὑμεῖς ζηλώσαντες, καὶ τὸ εὔδαιμον, τὸ ἐλεύθερον, τὸ δὲ ἐλεύθερον, τὸ εὔψυχον κρίναντες, μὴ περιορᾶσθε τοὺς πολεμικοὺς κινδύνους, οὐ γὰρ οἱ κακοπραγοῦντες δικαιότερον ἀφειδοῖεν ἂν τοῦ βίου, οἷς ἐλπὶς οὐκ ἔστ' ἀγαθοῦ, ἀλλ' οἷς ἡ ἐναντία μεταβολὴ ἐν τῷ ζῆν ἔτι κινδυνεύεται, καὶ ἐν οἷς μάλιστα μεγάλα τὰ διαφέροντα, ἤν τι πταίσωσιν. Αλγεινοτέρα γὰρ ἀνδρί γε φρόνημα ἔχοντι ἡ ἐν τῷ μετὰ τοῦ μαλακισθῆναι κάκωσις, ἢ ὁ μετὰ ῥώμης καὶ κοινῆς ἐλπίδος ἅμα γιγνόμενος, καὶ ἀναίσθητος θάνατος, διόπερ καὶ τοὺς τῶνδε νῦν τοκέας, ὅσοι πάρεστε, οὐκ ὀλοφύρομαι μᾶλλον, ἢ παραμυθήσομαι. ἐν πολυτρόποις γὰρ ξυμφοραῖς ἐπίστανται τραφέντες, τὸ δ' εὐτυχὲς, οἳ ἂν τῆς εὐπρεπεστάτης λάχωσιν, ὥσπερ οἵδε μὲν νῦν τελευτῆς, ὑμεῖς δὲ λύπης, καὶ ἐν οἷς ἐνευδαιμονῆσαί τε ὁ βίος ὁμοίως καὶ ἐντελευτῆσαι ξυνεμετρήθη. χαλεπὸν μὲν οὖν οἶδα πείθειν ὄν, ὧν καὶ πολλάκις ἕξετε ὑπομνήματα ἐν ἄλλων εὐτυχίαις, αἷς ποτε καὶ αὐτοὶ ἠγάλλεσθε, καὶ λύπη οὐχ ὧν ἄν τις μὴ πειρασάμενος ἀγαθῶν στερίσκηται, ἀλλ' οὗ ἂν ἐθὰς γενόμενος, ἀφαιρεθείη. καρτερεῖν δὲ χρὴ καὶ ἄλλων παίδων ἐλπίδι, οἷς ἔτι ἡλικία τέκνωσιν ποιεῖσθαι, ἰδίᾳ τε γὰρ τῶν οὐκ ὄντων λήθη οἱ ἐπιγιγνόμενοί τισιν ἔσονται, καὶ τῇ πόλει διχόθεν ἔκ τε τοῦ μὴ ἐρημοῦσθαι, καὶ ἀσφαλείᾳ ξυνοίσειν. οὐ γὰρ οἷόν τε ἴσον τι ἢ δίκαιον βουλεύεσθαι, οἳ ἂν μὴ καὶ παῖδας ἐκ τοῦ ὁμοίου παραβαλλόμενοι, κινδυνεύωσιν, ὅσοι δ' αὖ παρηβήκατε, τόν τε πλείονα κέρδος

ὃν, εὐτυχεῖτε βίον, ἡγεῖσθε καὶ τόνδε βραχὺν ἔσεσθαι, καὶ τῇ τῶνδε εὐκλείᾳ κουφίζεσθε. τὸ γὰρ φιλότιμον ἀγήρων μόνον, καὶ οὐκ ἐν τῷ ἀχρείῳ τῆς ἡλικίας τὸ κερδαίνειν, ὥσπερ τινές φασι, μᾶλλον τέρπει, ἀλλὰ τὸ τιμᾶσθαι, παισὶ δ' αὖ ὅσοι τῶνδε πάρεστε, ἢ ἀδελφοῖς, ὁρῶ μέγαν τὸν ἀγῶνα. τὸν γὰρ οὐκ ὄντα, ἅπας εἴωθεν ἐπαινεῖν, καὶ μόλις ἂν καθ' ὑπερβολὴν ἀρετῆς οὐχ ὁμοῖοι, ἀλλ' ὀλίγῳ χείρους κριθείητε. φθόνος γὰρ τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον, τὸ δὲ μὴ ἐμποδὼν, ἀνανταγωνίστῳ εὐνοίᾳ τετίμηται, εἰ δέ με δεῖ καὶ γυναικείας τι ἀρετῆς, ὅσαι νῦν ἐν χηρείᾳ ἔσονται μνησθῆναι, βραχείᾳ παραινέσει ἅπαν σημανῶ. τῆς τε ὑπαρχούσης φύσεως μὴ χείροσι γενέσθαι ὑμῖν, μεγάλη ἡ δόξα, καὶ οἷς ἂν ἐπ' ἐλάχιστον ἀρετῆς, πέρι, ἢ ψόγου ἐν τοῖς ἄρσεσι κλέος ᾖ. εἴρηται καὶ ἐμοὶ λόγῳ κατὰ τὸν νόμον, ὅσα εἶχον πρόσφορα, καὶ ἔργῳ οἱ θαπτόμενοι τὰ μὲν, ἤδη κεκόσμηνται, τὰ δὲ, αὐτῶν τοὺς παῖδας τὸ ἀπὸ τοῦδε, δημοσίᾳ ἡ πόλις μέχρις ἥβης θρέψει, ὠφέλιμον στέφανον τοῖσδέ τε, καὶ τοῖς λειπομένοις τῶν τοιῶνδε ἀγώνων προτιθεῖσα. ἆθλα γὰρ οἷς κεῖται ἀρετῆς μέγιστα, τοῖσδε καὶ ἄνδρες ἄριστοι πολιτεύουσι, νῦν δὲ ἀπολοφυράμενοι ὃν προσήκει ἑκάστῳ, ἄπιτε. Τοιόσδε μὲν ὁ τάφος ἐγένετο ἐν τῷ χειμῶνι τούτῳ.

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΕΠΙΤΑΦΙΟΣ.

Ἐπειδὴ τοὺς ἐν τῷ τάφῳ κειμένους ἄνδρας ἀγαθοὺς ἐν τῷ πολέμῳ γεγενημένους, ἔδοξε τῇ πόλει δημοσίᾳ θάπτειν, καὶ προσέταξεν ἐμοὶ τὸν νομιζόμενον λόγον εἰπεῖν ἐπ' αὐτοῖς, ἐσκόπουν μὲν εὐθὺς ὅπως τοῦ προσήκοντος ἐπαίνου τεύξονται. ἐξετάζων δὲ καὶ σκοπῶν ἀξίως εἰπεῖν τῶν τετελευτηκότων, ἔν τι τῶν ἀδυνάτων εὕρισκον ὄν. οἱ γὰρ τὴν ὑπάρχουσαν πᾶσιν ἔμφυτον ζωῆς ὑπερεῖδον ἐπιθυμίαν, καὶ τελευτῆσαι καλῶς μᾶλλον ἠβουλήθησαν, ἢ ζῶντες τὴν ἑλλάδα ἰδεῖν ἀτυχοῦσαν, πῶς οὐκ ἀνυπέρβλητον παντὶ λόγῳ τὴν αὑτῶν ἀρετὴν καταλελοίπασιν, ὅμως μέντοι διαλεχθῆναι τοῖς πρότερόν ποτε εἰρηκόσιν ἐνθάδε δεῖν εἶναί μοι δοκεῖ. ὡς μὲν οὖν ἡ πόλις σπουδάζει περὶ τοὺς ἐν τῷ πολέμῳ τελευτῶντας, ἔκ τε τῶν ἄλλων ἔστιν ἰδεῖν, καὶ μάλιστα ἐκ τοῦδε τοῦ νόμου, καθ' ὃν αἱρεῖται τὸν ἐροῦντα ἐπὶ ταῖς δημοσίαις ταφαῖς. εἰδυῖα γὰρ παρὰ τοῖς χρηστοῖς ἀνδράσι τὰς μὲν τῶν χρημάτων κτήσεις καὶ τῶν κατὰ τὸν βίον ἡδονῶν ἀπολαύσεις ὑπερεωραμένας, τῆς δ' ἀρετῆς καὶ τῶν ἐπαίνων πᾶσαν τὴν ἐπιθυμίαν οὖσαν, ἐξ ὧν ταῦτ' ἂν αὐτοῖς μάλιστα γένοιτο λόγων, τούτοις ᾠήθησαν δεῖν αὐτοὺς τιμᾶν. ἵν' ἣν ζῶντες ἐκτήσαντο εὐδοξίαν, αὕτη καὶ τετελευτηκόσιν αὐτοῖς ἀποδοθείη, εἰ μὲν οὖν τὴν ἀνδρείαν μόνον αὐτοῖς τῶν εἰς ἀρετὴν ἀνηκόντων ὑπάρχουσαν ἑώρων, ταύ-

την ἂν ἐπαινέσας, ἀπηλλαττόμην τῶν λοιπῶν, ἐπειδὴ δὲ γεγενῆσθαι καλῶς καὶ πεπαιδεῦσθαι σωφρόνως καὶ βεβιωκέναι φιλοτίμως συμβέβηκεν αὐτοῖς ἐξ ὧν εἰκότως ἦσαν σπουδαῖοι. αἰσχυνοίμην ἂν εἴ τι τούτων φανείην παραλιπών. ἄρξομαι δ' ἀπὸ τῆς τοῦ γένους αὐτῶν ἀρχῆς, ἡ γὰρ εὐγένεια τῶνδε τῶν ἀνδρῶν ἐκ πλείστου χρόνου παρὰ πᾶσιν ἀνθρώποις ἀνωμολόγηται, οὐ γὰρ μόνον εἰς πατέρ' αὐτοῖς καὶ τῶν ἄνω προγόνων κατ' ἄνδρα ἀνενεγκεῖν ἑκάστῳ τὴν φύσιν ἔστιν, ἀλλ' εἰς ὅλην κοινῇ τὴν ὑπάρχουσαν πατρίδα ἧς αὐτόχθονες ὁμολογοῦνται εἶναι, μόνοι γὰρ πάντων ἀνθρώπων ἐξ ἧσπερ ἔφυσαν ταύτην ᾤκησαν, καὶ τοῖς ἐξ αὑτῶν παρέδωκαν. ὥστε δικαίως ἄν τις ὑπολάβοι, τοὺς μὲν εἰς τὰς ἐπήλυδας ἐλθόντας πόλεις καὶ τούτων πολίτας προσαγορευομένους, ὁμοίους εἶναι τοῖς εἰσποιητοῖς τῶν παίδων, τούτους δὲ γνησίῳ γόνῳ τῆς πατρίδος πολίτας εἶναι. δοκεῖ δέ μοι καὶ τοὺς καρποὺς οἷς ζῶσιν ἄνθρωποι, παρ' ἡμῖν πρώτοις φανῆναι, χωρὶς τοῦ μέγιστον εὐεργέτημ' εἰς πάντας γενέσθαι, ὁμολογούμενον σημεῖον ὑπάρχειν τοῦ μητέρα τὴν χώραν εἶναι τῶν ἡμετέρων προγόνων. πάντα γὰρ τὰ τίκτοντα ἅμα καὶ τροφὴν τοῖς γιγνομένοις, ἀπ' αὐτῆς τῆς φύσεως φέρει, ὅπερ ἥδε ἡ χώρα πεποίηκε, τὰ μὲν οὖν εἰς γένος ἀνήκοντα, τοιαῦτα δι' αἰῶνος ὑπάρχει τοῖς δὲ τῶν ἀνδρῶν προγόνοις, τὰ δ' εἰς ἀνδρείαν καὶ τὴν ἄλλην ἀρετήν, πάντα μὲν ὀκνῶ λέγειν, φυλαττόμενος μὴ μῆκος ἄκαιρον ἐγγένηται τῷ λόγῳ. ἃ δὲ καὶ τοῖς εἰδόσι χρήσιμα ἀναμνησθῆ-

ναι, καὶ τοῖς ἀπείροις κάλλιστα ἀκοῦσαι, καὶ ζῆλον ἔχει πολὺν καὶ μῆκος λόγων ἄλυπον ἔχοντα, ταῦτα τῶν κεφαλαίων εἰπεῖν πειράσομαι, οἱ γὰρ τῆς κατὰ τὸν παρόντα χρόνον γενεᾶς πρόγονοι καὶ πατέρες, καὶ τούτων ἐπάνω τοῖς προσηγορίαις ἔχοντες αἷς ἀπὸ τοῦ ἐν γένει γνωρίζονται, ἠδίκησαν μὲν οὐδένα πώποτε οὔτε ἕλληνα, οὔτε βάρβαρον. ἀλλ᾽ ὑπῆρχεν αὐτοῖς πρὸς ἅπασι τοῖς ἄλλοις καλοῖς κἀγαθοῖς, καὶ δικαιοτάτοις εἶναι, ἀμυνόμενοι δὲ, πολλὰ καὶ λαμπρὰ διεπράξαντο. καὶ γὰρ τὸν ἀμαζόνων στρατὸν ἐλθόντα ἐκράτησαν οὕτως, ὥστ᾽ ἔξω φάσιδος ἐκβαλεῖν, καὶ τὸν εὐμόλπου καὶ πολλῶν ἄλλων στόλον οὐ μόνον ἐκ τῆς οἰκείας, ἀλλὰ καὶ ἐκ τῆς τῶν ἄλλων ἑλλήνων χώρας ἐξήλασαν. οὓς οἱ πρὸ ἡμῶν οἰκοῦντες πρὸς ἑσπέραν πάντες οὐχ ὑπέμειναν, οὔτ᾽ ἠδυνήθησαν κωλῦσαι, καὶ μὴν καὶ τῶν ἡρακλέους παίδων ὃς τοὺς ἄλλους ἔσωζε, σωτῆρες ὠνομάσθησαν, ἡνίκα ἦλθον εἰς τήνδε τὴν γῆν ἱκέται, φεύγοντες εὐρυσθέα, καὶ πρὸς πᾶσι τούτοις καὶ πολλοῖς ἄλλοις καὶ καλοῖς ἔργοις, τὰ τῶν κατοιχομένων νόμιμα οὐ περιεῖδον ὑβριζόμενα. ὅτε τοὺς ἑπτὰ ἐπὶ θήβας θάπτειν ἐκώλυε, κρέων, τῶν μὲν οὖν εἰς μύθους ἀνενηνεγμένων ἔργων πολλὰ παραλιπὼν, τούτων ἐπεμνήσθην, ὧν οὕτως ἕκαστον εὐσχήμονας καὶ πολλοὺς ἔχει λόγους, ὥστε καὶ τοὺς ἐμμέτρους καὶ τοὺς τῶν ᾀδομένων ποιητὰς καὶ πολλοὺς τῶν συγγραφέων, ὑποθέσεις τὰ ἐκείνων ἔργα τῆς αὐτῶν μουσικῆς πεποιῆσθαι. ἃ δὲ τῇ μὲν ἀξίᾳ τῶν ἔργων οὐδέν ἐστι τούτων ἐλάττω, τῷ δ᾽ ὑπὸ χρόνω-

τὸ πρότερον τοῖς χρόνοις οὔπω μεμυθολόγηται οὐ-
δ᾽ εἰς τὴν ἡρωϊκὴν ἐπανῆκται τάξιν, ταῦτ᾽ ἤδη λέ-
ξω, ἐκεῖνοι τὸν ἐξ ἁπάσης τῆς ἀσίας στόλον ἐλ-
θόντα, μόνοι δὶς ἠμύναντο καὶ κατὰ γῆν καὶ κα-
τὰ θάλατταν, καὶ διὰ τῶν ἰδίων κινδύνων, κοινῆς
σωτηρίας πᾶσι τοῖς ἕλλησιν, αἴτιοι κατέστησαν,
καὶ προείρηται μὲν ὃ μέλλω λέγειν ὑπ᾽ ἄλλων πρό-
τερον, δεῖ δὲ νῦν τοῦ δικαίου καὶ καλῶς ἔχοντος
ἐπαίνου τοὺς ἄνδρας ἐκείνους στερηθῆναι. τοσού-
τῳ γὰρ ἀμείνους τῶν ἐπὶ τροίαν στρατευσαμένων
νομίζοιντ᾽ ἂν εἰκότως, ὅσον οἱ μὲν ἐξ ἁπάσης ἑλ-
λάδος ὄντες ἀριστεῖς δέκ᾽ ἔτη τῆς ἀσίας ἓν χω-
ρίον πολιορκοῦντες μόλις εἷλον. οὗτοι δὲ τὸν ἐκ
πάσης τῆς ἠπείρου στόλον ἐλθόντα μόνοι τἄλλα
πάντα κατεστραμμένον, οὐ μόνον ἠμύναντο, ἀλ-
λὰ καὶ τιμωρίαν ὑπὲρ ὧν τοὺς ἄλλους ἠδίκουν
ἐπέθηκαν. ἔτι τοίνυν τὰς ἐν αὐτοῖς τοῖς ἕλλησι
πλεονεξίας κωλύοντες, πάντας ὅσους συνέβη
γενέσθαι κινδύνους ὑπέμειναν, ὅπου τὸ δίκαιον
εἴη τεταγμένον, ἐνταῦθα προσνέμοντες ἑαυτοὺς
ἕως εἰς τὴν νῦν ζῶσαν ἡλικίαν ὁ χρόνος προήγα-
γεν ἡμᾶς, μηδεὶς δὲ ἡγείσθω με ἀπορούντα, ὅτι
χρὴ περὶ τούτων εἰπεῖν ἑκάστου, ταῦτα τὰ πραχ-
θέντα ἀπηριθμηκέναι. εἰ γὰρ ἁπάντων ἀμηχανώ-
τατος ἦν ὅτι χρὴ λέγειν πορίσασθαι, ἡ κείνων ἀρε-
τὴ πολλὰ καλὰ δίδωσιν εἰπεῖν καὶ πρόχειρα, ἃ
ῥάδιον μὲν ἐστι διελθεῖν, ἀλλὰ προαιροῦμαι τῆς
εὐγενείας καὶ τῶν μεγίστων μνησθεὶς ὡς τάχιστα
συνάψαι τὸν λόγον πρὸς τὰ τούτοις πεπραγμένα.
ἵν᾽ ὥσπερ ταῖς φύσεσιν ἦσαν συγγενεῖς, οὕτω τοὺς ἐ-

παίνοις ἐπ' αὐτῶν κοινοὺς ποιήσασθαι. ὑπολαμ-
βάνων ταῦτ' ἂν εἶναι κεχαρισμένα κἀκείνοις, καὶ
μάλιστ' ἀμφοτέροις εἰ τῆς ἀλλήλων ἀρετῆς μὴ
μόνον τῇ φύσει μετάσχοιεν, ἀλλὰ καὶ τοῖς ἐπαί-
νοις, ἀνάγκη δ' ἐν τῷ μεταξὺ διαλαβεῖν, καὶ περὶ
τοῦ τὰ τοῖσδε πεπραγμένα τοῖς ἀνδράσι δηλοῦν,
καὶ τοὺς ἔξω τοῦ γένους πρὸς τὸν τάφον ἠκολουθη-
κότας πρὸς εὔνοιαν παρακαλέσαι. καὶ γὰρ εἰ μὲν
εἰς χρημάτων δαπάνην ἤ τινα ἄλλην θεωρίαν
ἱππικῶν, ἢ γυμνικῶν ἄθλων ἐπάχθην κοσμῆσαι
τὸν τάφον, ὅσῳ περ ἂν προθυμότερον καὶ ἀκριβέ-
στερον ταῦτα παρεσκευάσμην, τοσούτῳ μᾶλλον ἂν
προσήκοντα ἔδοξα πεποιηκέναι. λόγῳ δ' ἐπαινέ-
σαι τούσδε τοὺς ἄνδρας αἱρεθεὶς, ἐὰν μὴ τοὺς ἀκού-
οντας συμβουλευομένους λάβω, φοβοῦμαι μὴ τῇ
προθυμίᾳ τοὐναντίον οὗ δεῖ ποιήσω. ὁ μὲν γὰρ
πλοῦτος καὶ τὸ τάχος καὶ ἡ ἰσχὺς καὶ ὅσα ἄλλα
τούτοις ὅμοια, αὐτάρκεις ἔχει τὰς ὀνήσεις τοῖς κε-
κτημένοις, καὶ κρατοῦσι ἐν αὐτοῖς οἷς ἂν παρῇ-
κἂν μηδεὶς τῶν ἄλλων βούληται. ἡ δὲ τῶν λόγων
πειθὼ, τῆς τῶν ἀκουόντων εὐνοίας προσδεῖται,
καὶ μετὰ μὲν ταύτης κἂν μετρίως ῥηθῇ, δόξαν ἐνέγ-
και καὶ χάριν προσεποίει, ἄνευ δὲ ταύτης, κἂν ὑ-
περβάλῃ τῷ λέγειν καλῶς, προσίστησι τοῖς ἀκούου-
σι. πολλὰ τοίνυν ἔχων εἰπεῖν ὧν οἵδε πράξαντες
δικαίως ἐπαινεθήσονται, ἐπειδὴ πρὸς αὐτοῖς
εἰμὶ τοῖς ἔργοις, ἀπορῶ τί πρῶτον εἴπω. προϊστά-
μενα γάρ μοι πάντα εἰς ἕνα καιρὸν δύσκριτον κα-
θίστησί μοι τὴν αἵρεσιν αὐτῶν, οὐ μὴν ἀλλὰ πει-
ράσομαι τὴν αὐτὴν ποιήσασθαι τοῦ λόγου τάξιν,

ἥπερ

ἢ πρὸ ἡ πῆρξε τοῦ βίου τούτοις, οἱ δὲ γὰρ ἐξ ἀρχῆς, ἐν πᾶσι τοῖς παιδεύμασιν ἦσαν ἐπιφανεῖς, τὰ πρέποντα καθ' ἡλικίαν ἀσκοῦντες ἑκάστην, καὶ πᾶσιν ἀρέσκοντες οἷς χρὴ, γονεῦσι, φίλοις, οἰκείοις, τοιγαροῦν. ὥσπερ ἴχνη γνωρίζουσα νῦν ἡ τῶν οἰκείων αὐτοῖς καὶ φίλων μνήμη, πᾶσαν ὥραν ἐπὶ τούτους φέρεται τῷ πόθῳ πολλὰ ὑπομνήματα λαμβάνουσα ἐν οἷς συνῄδει τούτοις ἀρίστοις οὖσιν. ἐπειδὴ δ' εἰς ἄνδρας ἀφίκοντο, οὐ μόνον τοῖς πολίταις γνώριμον τὴν αὐτῶν φύσιν, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις κατέστησαν. ἔστι γὰρ ἔστιν ἁπάσης ἀρετῆς ἀρχὴ μὲν, σύνεσις, πέρας δὲ, ἀνδρία, καὶ τῇ μὲν δοκιμάζεται, τί πρακτέον ἐστί. τῇ δὲ σώζεται, ἐν τούτοις ἀμφοτέροις, οἵδε πολὺ διήνεγκαν, καὶ γὰρ εἴ τις ἐφύετο κοινὸς πᾶσι κίνδυνος τοῖς ἕλλησιν, οὗτοι πρῶτοι προείδοντο, καὶ πολλάκις εἰς σωτηρίαν ἅπαντας παρεκάλεσαν, ὅπερ γνώμης ἀπόδειξίς ἐστιν εὖ φρονούσης καὶ τῆς παρὰ τοῖς ἕλλησιν ἀγνοίας μεμιγμένης κακία ὅτ' ἐνῆν, ταῦτα κωλύειν ἀσφαλῶς. τὰ μὲν οὐ προορώσης τὰ δ' εἰρωνευομένης, ὅμως ἡνίχ' ὑπήκουσαν καὶ τὰ δέοντα ποιεῖν ἠθέλησαν, οὐκ ἐμνησικάκησαν, ἀλλὰ προστάντες καὶ παρασχόντες ἅπαντα προθύμως, καὶ σώματα, καὶ χρήματα, καὶ συμμάχους, εἰς πεῖραν ἦλθον ἀγῶνος, εἰς ὃν οὐδὲ τῆς ψυχῆς ἐφείσαντο, ἐξ ἀνάγκης δὲ συμβαίνει ὅταν μάχη γίγνηται, τοῖς μὲν, ἡττᾶσθαι. τοῖς δὲ, νικᾶν, οὐκ ἂν ὀκνήσαιμι δ' εἰπεῖν ὅτι μοι δοκοῦσιν οἱ τελευτῶντες ἑκατέρων ἐν τάξει, τοῦ μὲν ἥττης οὐ μετέχειν, νικᾶν δὲ ὁμοίως ἀμφοτέρους, τὸ μὲν γὰρ κρατεῖν ἐν τοῖς ζῶσιν ὡς ἂν ὁ δαίμων παρα

δῶ κρίνεται, ὃ δ' εἰς στρατιώτην ἕκαστον ἔδει παρασχέσθαι, πᾶς ὁ μένων ἐν τάξει πεποίηκεν, εἰ δὲ θνητὸς ὢν τὴν εἱμαρμένην ἔσχε τῇ τύχῃ, πέπονθε τὸ συμβαῖνον, οὐχὶ τὴν ψυχὴν ἥττηται τῶν ἐναντίων. νομίζω τοίνυν καὶ τοῦ τῆς χώρας ἡμῶν μὴ ἐπιβῆναι τοὺς πολεμίους πρὸς τῇ τῶν ἐναντίων ἀγνωμοσύνῃ, τὴν τούτων ἀρετὴν αἰτίαν γεγενῆσθαι, κατ' ἄνδρα γὰρ πεῖραν εἰληφότες οἱ τότε συμμίξαντες ἐκεῖ, οὐκ ἠβούλοντο αὖθις εἰς ἀγῶνα καθίστασθαι τοῖς ἐκείνων οἰκείοις, ὑπολαμβάνοντες ταῖς μὲν φύσεσι ταῖς ὁμοίαις ἀπαντήσεσθαι, τύχην δὲ οὐκ εὔπορον εἶναι τὴν ὁμοίαν λαβεῖν. δηλοῖ δ' οὐχ ἥκιστα ὅτι ταῦτα οὕτως ἔχει, καὶ τὰ τῆς γεγονυίας εἰρήνης, οὐ γὰρ ἔστ' εἰπεῖν οὔτ' ἀληθεστέραν, οὔτε καλλίω πρόφασιν τοῦ τὸν τῶν τετελευτηκότων ἀγασθέντας ἀρετῆς, τὸν τῶν ἐναντίων κύριον φίλον γενέσθαι τοῖς ἐκείνων οἰκείοις βούλεσθαι μᾶλλον, ἢ πάλιν τὸν ὑπὲρ τῶν ὅλων κίνδυνον ἄρασθαι. οἶμαι δ' ἂν εἴ τις αὐτοὺς τοὺς παραταξαμένους ἐρωτήσειε πότερ' ἡγοῦνται ταῖς αὑτῶν ἀρεταῖς, ἢ τῇ παραδόξῳ καὶ χαλεπῇ τύχῃ κατωρθωκέναι καὶ τῇ τοῦ προεστηκότος αὐτῶν ἐμπειρίᾳ καὶ τόλμῃ, καὶ ψυχῇ, οὐδένα οὔτ' ἀναίσχυντον, οὔτε τολμηρὸν οὕτως εἶναι, ὅντιν' ἀντιποιήσεσθαι τῶν πεπραγμένων. ἀλλὰ μὴν ὑπὲρ ὧν ὁ πάντων κύριος δαίμων ὡς ἠβούλετο ἔνειμε τὸ τέλος, πάντας ἀφεῖσθαι κακίας ἀνάγκη τοὺς λοιποὺς ἀνθρώπους γε ὄντας, περὶ ὧν δ' ὁ τῶν ἐναντίων ἡγεμὼν ὑπερῆρε τοὺς ἐπὶ τούτῳ ταχθέντας οὐχὶ τοὺς πολλούς, οὔτ' ἐκείνων, οὔθ' ἡμῶν αἰτιάσαιτ' ἄν τις εἰκότως. εἰ δ' ἄρα ἐστί τις αὐτῶν ὅτῳ περὶ τούτων

ἐγκαλέσαι προσήκει τοῖς ἐν τούτῳ ταχθεῖσι Θηβαίων, οὐχὶ τοῖς πολλοῖς οὔθ' ἡμῶν, οὔτ' ἐκείνων ἐγκαλέσειεν ἄν τις εἰκότως, οἳ δύναμιν λαβόντες ἔχουσαν θυμὸν ἀήττητον καὶ ἀπροφάσιστον, καὶ φιλοτιμίαν ἐφάμιλλον, οὐδενὶ τούτων ὀρθῶς ἐχρήσαντο, καὶ τὰ μὲν ἄλλ' ἐστὶ τούτων ὡς ἕκαστος ἔχει γνώμης, οὕτως ὑπολαμβάνειν. ὃ δὲ ἅπασιν ὁμοίως ἀνθρώποις τοῖς οὖσι γεγένηται, φανερὸν ὅτι ἡ πάσης τῆς ἑλλάδος ἅμα ἐλευθερία, ἐν ταῖς τῶν ἀνδρῶν ψυχαῖς διεσώζετο, ἐπειδὴ οὖν ἡ πεπρωμένη τούτους ἀνεῖλεν, οὐδεὶς ἀντέστη τῶν λοιπῶν, καὶ φθόνος μὲν ἀπείη τοῦ λόγου, δοκεῖ δέ μοι τις ἂν εἰπὼν ὡς ἡ τῶνδε τῶν ἀνδρῶν ἀρετὴ τῆς ἑλλάδος ἦν ψυχή, τἀληθὲς εἰπεῖν. ἅμα γὰρ τά τε τούτων πνεύματα ἀπηλλάγη τῶν οἰκείων σωμάτων, καὶ τὸ τῆς ἑλλάδος ἀξίωμα ἀνῄρηται, μεγάλην μὲν οὖν ἴσως ὑπερβολὴν δόξομεν λέγειν, ῥητέον δ' ὅμως, ὥσπερ γὰρ εἴ τις ἐκ τοῦ καθεστηκότος κόσμου τὸ φῶς ἐξέλοι, δυσχερὴς καὶ χαλεπὸς ἅπας ὁ λειπόμενος βίος γένοιτ' ἄν, οὕτω τῶνδε τῶν ἀνδρῶν ἀναιρεθέντων, ἐν σκότει καὶ πολλῇ δυσκλείᾳ πᾶς ὁ πρὸ τοῦ ζῆλος τῶν ἑλλήνων γέγονε. διὰ πολλὰ δ' εἰκότως ὄντες τοιοῦτοι, διὰ τὴν πολιτείαν οὐχ ἥκιστα ἦσαν σπουδαῖοι. αἱ μὲν γὰρ διὰ τῶν ὀλίγων δυναστεῖαι, δέος μὲν ἐνεργάζονται τοῖς πολίταις, αἰσχύνην δ' οὐ παριστᾶσιν, ἡνίκα γοῦν ὁ ἀγὼν ἔλθῃ τοῦ πολέμου, πᾶς τις εὐχερῶς ἑαυτὸν σώζει, συνειδὼς ὅτι ἐὰν τοὺς κυρίους, ἢ δώροις ἢ δι' ἄλλης ἡστινοσοῦν ὁμιλίας ἐξαρέσηται, κἂν τὰ δεινότατα αἰσχύνηται, μικρὸν ὄνειδος τὸ λοιπὸν αὐτῷ καταστήσεται, αἱ δὲ δημοκρατίαι,

πολλά τε ἄλλα καὶ καλὰ καὶ δίκαια ἔχουσιν. ὧν οὖν
εὖ φρονοῦντας ἀντέχεσθαι δεῖ, καὶ τὴν παρρησίαν ἐκ
τῆς ἀληθείας ἠρτημένην, οὐκ ἔστιν ἀποτρέψαι τἀ-
ληθὲς δηλοῦν, οὔτε γὰρ πάντας ἐξαρέσασθαι τοῖς
αἰσχρόν τι ποιήσασι δυνατόν, οὔτε ὁ μόνος τἀλη-
θὲς ὀνειδίζων λυπεῖ, καὶ γὰρ οἱ μηδὲν ἂν εἰπόν
τες αὐτοὶ βλάσφημον, ἄλλου γε λέγοντος, χαίρου
σιν ἀκούοντες. ἃ φοβούμενοι πάντες, εἰκότως τῇ
τῆς μετὰ ταῦτα ὀνειδῶν αἰσχύνῃ, τόν τε προσιόντα
ἀπὸ τῶν ἐναντίων κίνδυνον εὐρώστως ὑπέμειναν, καὶ
θάνατον καλὸν εἵλοντο μᾶλλον, ἢ βίον αἰσχρόν, ἃ
μὲν οὖν κοινῇ πᾶσιν ὑπῆρχε τοῖσδε τοῖς ἀνδράσιν
εἰς τὸ καλῶς ἐθέλειν ἀποθνήσκειν, εἴρηται, γένος,
παιδεία, χρηστῶν ἐπιτηδευμάτων συνήθεια, τῆς ὅ-
λης πολιτείας ὑπόθεσις, ἃ δὲ κατὰ φυλὰς παρε-
κάλεσεν ἑκάστους ἀγαθοὺς εἶναι, ταῦτ' ἤδη λέξω.
ᾔδεσαν ἅπαντες ἐρεχθεῖδαι τὸν ἐπώνυμον αὑτῶν
ἐρεχθέα, ἕνεκα τοῦ σῶσαι τὴν χώραν, τὰς αὐτοῦ παῖ-
δας ἃς ὑακινθίδας καλοῦσιν, εἰς πρόδηλον θά-
νατον δόντα ἀναλῶσαι. αἰσχρὸν οὖν ἡγοῦντο τὸν μὲν
ἀπ' ἀθανάτων πεφυκότα πάντα ποιεῖν ἕνεκα τοῦ
τὴν πατρίδα ἐλευθερῶσαι, αὐτοὶ δὲ φανῆναι θνη
τὸν σῶμα ποιούμενοι περὶ πλείονος, ἢ δόξαν ἀθά
νατον, οὐκ ἠγνόουν αἰγεῖδαι θησέα τὸν αἰγέως πρῶ
τον ἰσηγορίαν καταστησάμενον τῇ πόλει, δεινὸν οὖν
ἡγοῦντο τὴν ἐκείνου προδοῦναι προαίρεσιν, καὶ τε-
θνάναι μᾶλλον ᾑροῦντο, ἢ καταλυομένης αὐτῆς
παρὰ τοῖς ἕλλησι ζῆν φιλοψυχήσαντες, παρειλήφε
σαν πανδιονίδαι πρόκνην καὶ φιλομήλαν τὰς παν-
δίονος θυγατέρας ὡς ἐτιμωρήσαντο τηρέα διὰ

τὴν εἰς αὐτὰς ὕβριν, οὐ βιωτὸν ἦν νόμιζον αὐ-
τοῖς εἰ μὴ συγγενῆ φανήσονται τὸν θυμὸν ἔχοντες
ἐκείνοις, ὑφ' οἷς τὴν ἑλλάδα ἑώρων ὑβριζομένην,
ἠκηκόεσαν λεοντίδαι μυθολογουμένας τὰς λεω-
κόρας. ὡς αὑτὰς ἔδοσαν σφάγιον τοῖς πολίταις
ὑπὲρ τῆς χώρας, ὅτε δὴ οὖν γυναῖκες ἐκεῖναι τοιαύ-
την ἔσχον ἀνδρείαν, οὐ θεμιτὸν αὑτοῖς ὑπελάμβα-
νον, χείροσιν ἀνδράσιν οὖσιν ἐκείνων φανῆναι, ἐμέ-
μνηντο ἀκαμαντίδαι τῶν ἐπῶν ἐν οἷς ὅμηρος εἵνεκα
τῆς μητρός φησιν φαίδρας, ἀκάμαντα εἰς Τροίαν στεῖ-
λαι, ὁ μὲν οὖν παντὸς ἐπειρᾶτο κινδύνου τῆς σῶσαι
τὴν ἑαυτοῦ μητέρα εἵνεκα. οἱ δὲ τοὺς οἰκείους σύμπαν-
τας γονέας εἵνεκα τοῦ σῶσαι, πῶς οὐκ ἤμελλον πάν-
τα κίνδυνον ὑπομένειν, οὐκ ἐλάνθανεν οἰνίδας ὅτι
κάδμου μὲν σεμέλη τῆς δὲ υἱὸν ὄντα, ὃν οὐ πρέπον
ἐστὶν ὀνομάζειν ἐπὶ τοῦδε τοῦ τάφου, τοῦ δὲ οἰνεὺς γέγο-
νεν ὃς ἀρχηγὸς αὐτῶν ἐκαλεῖτο. κοινοῦ δ' ὄντος
ἀμφοτέραις ταῖς πόλεσι τοῦ παρόντος κινδύνου,
ὑπὲρ ἀμφοτέρων ἅπασαν ᾤοντο δεῖν ἀγωνίαν ἐκ-
τεῖναι. ᾔδεσαν κεκροπίδαι τὸν ἑαυτῶν ἀρχηγόν, τὰ
μὲν ὡς ἐστὶ δράκων, τὰ δ' ὡς ἐστιν ἄνθρωπος λεγό-
μενος οὐκ ἄλλοθέν ποθεν, ἢ τὸ τὴν σύνεσιν αὐτοῦ
προσομοιοῦν ἀνθρώπῳ, τὴν ἀλκὴν δὲ δράκοντι. ἄξια
δὴ τούτων πράττειν ὑπελάμβανον αὑτοῖς προσή-
κειν, ἐμέμνηντο ἱπποθοωντίδαι τῆς ἀλώπης γά-
μων ἐξ ὧν ἱπποθόων ἔφυ, καὶ τὸν ἀρχηγὸν ᾔδεσαν,
ὧν τὸ πρέπον φυλάττων ἐγὼ τῷδε τῷ καιρῷ, τὸ σα-
φὲς εἰπεῖν ὑπερβαίνω, ἄξια δὴ τούτων ᾤοντο δεῖν
προσήκειν ποιοῦντες ὀφθῆναι, οὐκ ἐλάνθανεν
αἰαντίδας ὅτι τῶν ἀριστείων στερηθεὶς αἴας, ἀβίω

τὸν ἑαυτῷ ἠρημένον τὸν βίον, ἡνίκ' οὖν ὁ δαίμων ἄλλῳ τὰ πρωτεῖα ἐδίδου, τότε τοὺς ἐχθροὺς ἀμυνόμενοι, τεθνᾶναι δεῖν ᾤοντο, ὥστε μηδὲν ἀνάξιον αὐτῶν παθεῖν, οὐκ ἠμνημόνουν ἀντιοχίδαι ἡρακλέους ὄντα ἀντίοχον. δεῖν οὖν ἡγήσαντο, ἢ ζῆν ἀξίως τῶν ὑπαρχόντων, ἢ τεθνάναι καλῶς. οἱ μὲν οὖν ζῶντες οἰκεῖοι τούτων, ἐλεεινοὶ τοιούτων ἀνδρῶν ἐστερημένοι, καὶ συνηθείας πολλῆς καὶ φιλανθρώπου διεζευγμένοι, καὶ τὰ τῆς πατρίδος πράγματ' ἔρημα καὶ δακρύων καὶ πένθους πλήρη. οἱ δὲ δαίμονες τῷ δικαίῳ λογισμῷ, πρῶτον μὲν ἀντὶ μικροῦ χρόνου, πολὺν καὶ τὸν ἅπαντα εὔκλειαν ἀγήρω καταλείπουσιν, ἐν ᾗ καὶ παῖδες οἱ τούτων ὀνομαστοὶ τραφήσονται, καὶ γονεῖς οἱ τούτων περίβλεπτοι γηροτροφήσονται, παραψυχὴν τῷ πένθει τὴν τούτων εὔκλειαν ἔχοντες. ἔπειτα νόσον ἀπαθεῖς τὰ σώματα, καὶ λυπῶν ἄπειροι τὰς ψυχὰς τὰς ἐπὶ τοῖς συμβεβηκόσιν οἱ ζῶντες ἔχουσιν, ἐν μεγάλῃ τιμῇ καὶ πολλῷ ζήλῳ τῶν νομιζομένων τυγχάνουσιν. οὓς γὰρ ἅπασα μὲν ἡ πατρὶς θάπτει δημοσίᾳ, κοινῶν δ' ἐπαίνων μόνοι τυγχάνουσι, ποθοῦσι δ' οὐ μόνον οἱ συγγενεῖς καὶ πολῖται, ἀλλὰ πᾶσαν ὅσην ἑλλάδα χρὴ προσειπεῖν, συμπεπένθηκε δὲ καὶ τῆς οἰκουμένης τὸ πλεῖστον μέρος, πῶς οὐ χρὴ τούτους εὐδαίμονας, οὓς παρέδρους εἰκότως ἄν τις φήσαι τοῖς κάτω θεοῖς εἶναι, τὴν αὐτὴν τάξιν ἔχοντας τοῖς προτέροις ἀγαθοῖς ἀνδράσιν ἐν μακάρων νήσοις. οὐ γὰρ ἰδών τις οὐδὲ περὶ ἐκείνων ταῦτ' ἀπήγγελκεν, ἀλλ' οὓς οἱ ζῶντες ἀξίους ὑπειλήφαμεν τῶν ἄνω τιμῶν, τούτους τῇ δόξῃ καταμαντευόμενοι, κἀκεῖ τῶν αὐτῶν

ὑμῶν ἡγούμεθ' αὐτοῖς τυγχάνειν, ἔστι μὲν οὖν ἴσως χαλεπὸν, τὰς παρούσας συμφορὰς λόγῳ κουφίσαι, δεῖ δ' ὅμως πειρᾶσθαι καὶ πρὸς τὰ παρηγοροῦντα τρέπειν τὴν ψυχὴν, ὡς τοὺς τοιούτους ἄνδρας γεγονότας καὶ πεφυκότας αὐτοὺς ἐκ τοιούτων ἑτέρων, καλόν ἐστι τὰ δεινὰ εὐσχημονέστερον τῶν ἄλλων φέροντας ὁρᾶσθαι, καὶ πάσῃ τύχῃ χρωμένους ὁμοίους εἶναι, καὶ γὰρ ἐκείνοις, ταῦτ' ἂν εἴη μάλιστ' ἐν κόσμῳ καὶ τιμῇ καὶ πάσῃ τῇ πόλει, καὶ τοῖς ζῶσι ταῦτ' ἂν ἐνέγκοι πλείστην εὐδοξίαν, χαλεπὸν πατρὶ καὶ μητρὶ παίδων στερηθῆναι καὶ ἐρήμοις εἶναι τῶν οἰκειοτάτων γηροβοσκῶν, σεμνὸν δέ γε ἀγήρως τιμὰς καὶ μνήμην ἀρετῆς δημοσίᾳ κτησαμένους ἰδεῖν, καὶ θυσιῶν καὶ ἀγώνων ἠξιωμένους ἀθανάτων, λυπηρὸν πᾶσιν ὀρφανοῖς γεγενῆσθαι πατρὸς, καλὸν δέ γε κληρονομεῖν, πατρῴας εὐδοξίας, καὶ τὸ μὲν λυπηρὸν τούτου, τὸν δαίμονα αἴτιον εὑρήσομεν ὄντα, ᾧ φύντας ἀνθρώπους εἴκειν ἀνάγκη. τὸ δὲ τίμιον καὶ καλοῦ τὴν τῶν ἐθελησάντων καλῶς ἀποθνήσκειν αἵρεσιν, ἐγὼ μὲν οὖν οὐχ ὅπως πολλὰ λέξω τοῦτ' ἐπεσκεψάμην, ἀλλ' ὅπως τἀληθῆ, ὑμεῖς δὲ ἀποδυράμενοι, καὶ τὰ προσήκοντα ὡς χρὴ καὶ νόμιμα ποιήσαντες, ἄπιτε.

Α Β Γ Δ Ε Ζ.

*Omnes sunt duerni.*

VENETIIS, APVD ALDI
FILIOS, M D XLIX.


ALDI
FILII



